11. *Ἆρα τοιοῦτόν* etc.] Incipit loqui Justinus: ubi desinat, minus liquet. Stephan., Lang., Sylburg., Jebb. senis responsionem ordiuntur a verbis *Ὅσα γάρ ἐστι*, Thirlb. melius inde a *Τούτου χάριν*. Optime autem Maranus haec omnia, quae arcte cohaerent, Justino restituit. Videbantur quidem illi critico verba *Τὸ γὰρ ἀγέννητον* etc. prima specie in senem conferenda, ut Platoni, qui materiam aeternam et increatam putabat, adversantia. Sed, ut inter alia probe observat, paulo ante dicit Justinus solum Deum esse ingenitum, quare non mirum, si hic duo esse ingenita negat. Huc accedit, quod idem, dum duo ingenita esse negat, animum ad ipsam materiam non advertit, sed de mundo, qui ex materia factus est, ac de rebus loquitur, quae universo mundo continentur.

12. *Πλάτων . . . περὶ τ. κόσμου* etc.] Tim. p. 41. A. B (Vol. IX. p. 324. sq.): *Ἐπεὶ δ' οὖν πάντες ὅσοι τε περιπολοῦσι φανερῶς καὶ ὅσοι φαίνονται καθ' ὅσον ἂν ἐθέλωσι θεοὶ γένεσιν ἔσχον, λέγει πρὸς αὐτοὺς ὁ τόδε τὸ πᾶν γεννήσας τάδε· Θεοὶ θεῶν, ὧν ἐγὼ δημιουργὸς πατήρ τε ἔργων, ἃ δι' ἐμοῦ γενόμενα ἄλυτα ἐμοῦ γ' ἐθέλοντος. Τὸ μὲν οὖν δὴ δεθὲν πᾶν λυτόν, τό γε μὴν καλῶς ἁρμοσθὲν καὶ ἔχον εὖ λύειν ἐθέλειν κακοῦ. Δι' ἃ καὶ ἐπείπερ γεγένησθε, ἀθάνατοι μὲν οὐκ ἐστὲ οὐδ' ἄλυτοι τὸ πάμπαν, οὔτι μὲν δὴ λυθήσεσθέ γε οὐδὲ τεύξεσθε θανάτου μοίρας, τῆς ἐμῆς βουλήσεως μείζονος ἔτι δέσμου καὶ κυριωτέρου λαχόντες ἐκείνων οἷς ὅτ' ἐγίγνεσθε ξυνεδεῖσθε.* Vid. Cohort. ad. Gr. c. 23. p. 21. C. D.

13. *λέγων*] Thirlb. vitiose *λέγω*.

ψυχῆς καὶ ἁπλῶς πάντων πέρι λέγεσθαι; Ὅσα γάρ ἐστι μετὰ τὸν D
θεὸν ἢ ἔσται ποτέ, ταῦτα φύσιν φθαρτὴν [14] ἔχειν, καὶ οἷά τε
ἐξαφανισθῆναι καὶ μὴ εἶναι ἔτι· μόνος γὰρ ἀγέννητος καὶ ἄφθαρ-
τος ὁ θεὸς καὶ διὰ τοῦτο θεός ἐστι, τὰ δὲ λοιπὰ πάντα μετὰ τοῦ-
τον γεννητὰ καὶ φθαρτά. Τούτου χάριν καὶ [15] ἀποθνήσκουσιν
αἱ ψυχαὶ καὶ κολάζονται· ἐπεὶ εἰ ἀγέννητοι ἦσαν, οὔτ' ἂν ἐξημάρ-
τανον οὔτε ἀφροσύνης [16] ἀνάπλεῳ ἦσαν οὐδὲ δειλαὶ καὶ θρασεῖαι
πάλιν, ἀλλ' οὐδὲ ἑκοῦσαί ποτε [17] εἰς σύας ἐχώρουν καὶ ὄφεις καὶ E
κύνας, οὐδὲ μὴν ἀναγκάζεσθαι αὐτὰς θέμις, εἴπερ εἰσὶν ἀγέννη-
τοι. Τὸ γὰρ ἀγέννητον τῷ ἀγεννήτῳ ὅμοιόν ἐστι καὶ ἴσον καὶ
ταὐτόν, καὶ οὔτε δυνάμει οὔτε τιμῇ προκριθείη ἂν θατέρου τὸ
ἕτερον, ὅθεν οὐδὲ πολλά ἐστι τὰ ἀγέννητα· εἰ γὰρ διαφορά τις
ἦν ἐν αὐτοῖς, οὐκ ἂν εὕροις ἀναζητῶν τὸ αἴτιον τῆς διαφορᾶς, 224
ἀλλ' [18] ἐπ' ἄπειρον ἀεὶ τὴν διάνοιαν πέμπων ἐπὶ ἑνός ποτε στήσῃ
ἀγεννήτου καμὼν καὶ τοῦτο φήσεις ἁπάντων αἴτιον. [19] Εἶτε ἔλα-
θε, φημὶ ἐγώ, Πλάτωνα καὶ Πυθαγόραν σοφοὺς ἄνδρας, οἳ ὥσπερ
τεῖχος ἡμῖν καὶ ἔρεισμα φιλοσοφίας ἐξεγένοντο;

6. Οὐδὲν ἐμοί, ἔφη, μέλει Πλάτωνος οὐδὲ Πυθαγόρου οὐδὲ
ἁπλῶς οὐδενὸς ὅλως τοιαῦτα δοξάζοντος. Τὸ γὰρ ἀληθὲς οὕτως
ἔχει· μάθοις δ' ἂν ἐντεῦθεν. Ἡ ψυχὴ ἤτοι ζωή ἐστιν ἢ ζωὴν ἔχει. B
Εἰ μὲν οὖν ζωή ἐστιν, ἄλλο τι ἂν ποιήσειε ζῆν, οὐχ ἑαυτήν, ὡς
καὶ [1] κίνησις ἄλλο τι κινήσειε μᾶλλον ἢ ἑαυτήν. Ὅτι δὲ ζῇ ψυχή,

14. ἔχειν] Si senex hîc loqui incipit, pro ἔχειν legendum erit ἔχει, uti jam Thirlb. adnotavit. Nos servamus lectionem receptam supplendo ex praecedentibus Πλάτων αἰνίσσεται.

15. ἀποθνήσκουσιν] Fortius dictum est quam οὐκ ἀθάνατοί s. θνηταί εἰσιν. Cf. supra p. 222. E (vid. not. 5. fin. et 10.).

16. ἀνάπλεῳ] Ita recte Sylburg. et Maran.; ceteri ἀνάπλεω (sine ι subscr.), ut in utroque Cod. msto.

17. εἰς σύας ἐχώρουν etc.] Concesserat supra (c. 4. p. 222. D) Justinus, animas neutiquam in alia corpora migrare. Fortasse igitur hîc eas indicat, quae sunt in brutis; scilicet c. 4. p. 222. E. in omnibus easdem esse contendit.

18. ἐπ' ἄπειρον ... αἴτιον] Thirlb. laudat Irenaeum l. c. II. c. 16. §. 3. p. 137.: „Quanto igitur tutius et diligentius, quod est verum statim initio confiteri, quoniam fabricator Deus hic, qui mundum fecit, solus est Deus et non est alius Deus praeter eum: — quam post tantam irreligiositatem et circuitum d e f e s s o s cogi a l i q u a n d o i n a l i q u o u n o s t a t u e r e s e n s u m et ex eo figurationem factorum confiteri?“

cet de anima ac generatim de omnibus dici? Quaecumque enim post Deum sunt aut erunt aliquando, ea naturam habent corruptioni obnoxiam, ac talia sunt ut aboleri possint et jam nulla esse; solus enim Deus nec genitus nec corruptioni obnoxius est ac propterea Deus est: reliqua vero omnia, quae post eum sunt, genita et corruptioni obnoxia. Qua de causa animae et moriuntur et puniuntur. Nam si ingenitae essent, nec peccarent nec stultitia redundarent nec ignavae essent nec rursum feroces, neque etiam sua sponte in sues umquam migrarent et serpentes et canes, imo nefas illas cogi, si ingenitae sunt. Ingenitum enim ingenito simile est et par et idem, nec potestate aut dignitate alterum alteri praeferatur, unde non multa sunt ingenita. Nam si quid inter illa discriminis esset, numquam tamen hujus discriminis causam investigando reperires, sed cogitationem semper in infinitatem immittens tandem in aliquo ingenito defessus haerebis illudque omnium causam esse dices. An vero Platonem, ajebam, et Pythagoram haec latuere, homines sapientes, qui nobis veluti murus et propugnaculum philosophiae exstitere?

6. Nihil Platonem moror, inquit, nec Pythagoram nec quemquam omnino qui talia opinetur. Sic enim se veritas habet, idque inde perspicies. Anima vel vita est vel vitam habet. Quodsi vita esset, aliud quidpiam vivere faceret, non seipsam, sicut et motus aliud quidpiam movet potius quam seipsum. Animam autem vivere, nemo negaverit. Sed si vivit, non ideo vivit,

19. *Εἴτε ἔλαθε* etc.] Haec verba, ut Maran. admonuit, antecedentibus *Ἆρα τοιοῦτόν* etc. respondent et absolvunt quaestionem: *Utrum id, quod dicis, ad Platonis sententiam in Timaeo de mundo propositam revocari potest? ... An latuit Platonem?* Multa quum interjecta essent, usurpantur verba *φημὶ ἐγώ*, quibus non semper (Marano animadvertente) novus loquendi ordo designatur. Cf. c. 5. p. 222. E ... *κἀγὼ συντίθεμαι, ἔφη*. Vulgata lectio *Εἶτα* (*Itaque*: Thirlb. vult *Ἢ ταῦτα* vel *Εἶτα ταῦτα*) pro *Εἴτε*, quod Marano debetur, responsionem contineret prorsus non quadrantem ad proxime antecedentia, ubi nihil contra illam Platonis sententiam dicitur. Insuper lectio a nobis recepta optime convenit in ea quae sequuntur: *Οὐδὲν ἐμοί, ἔφη, μέλει Πλάτωνος* etc..

1. *κίνησις*] Mallet Sylburg. *ἡ κίνησις*.

οὐδεὶς ἀντείποι. Εἰ δὲ ζῇ, [2] οὐ ζωὴ οὖσα ζῇ, ἀλλὰ μεταλαμβά-
νουσα τῆς ζωῆς· ἕτερον δέ τι τὸ μετέχον τινὸς ἐκείνου οὗ μετέχει.
Ζωῆς δὲ ψυχὴ μετέχει, ἐπεὶ ζῆν αὐτὴν ὁ θεὸς βούλεται. [3] Οὕτως
ἄρα καὶ οὐ μεθέξει ποτέ, ὅταν αὐτὴν μὴ θέλοι ζῆν· οὐ γὰρ [4] δι' C
αὐτῆς ἐστὶ τὸ ζῆν ὡς τοῦ θεοῦ, ἀλλὰ ὥσπερ ἄνθρωπος οὐ δια-
παντός ἐστιν οὐδὲ σύνεστιν ἀεὶ τῇ ψυχῇ τὸ σῶμα, ἀλλ' ὅτε ἂν δέῃ
λυθῆναι τὴν ἁρμονίαν ταύτην, καταλείπει ἡ ψυχὴ τὸ σῶμα καὶ
ὁ ἄνθρωπος οὐκ ἔστιν, οὕτως καί, ὅταν δέῃ τὴν ψυχὴν μηκέτι
εἶναι, [5] ἀπέστη ἀπ' αὐτῆς τὸ ζωτικὸν πνεῦμα καὶ οὐκ ἔστιν ἡ
ψυχὴ ἔτι, ἀλλὰ καὶ [6] αὐτὴ ὅθεν ἐλήφθη ἐκεῖσε χωρεῖ πάλιν.

7. Τίνι οὖν, φημί, ἔτι τις χρήσαιτο διδασκάλῳ ἢ πόθεν
ὠφεληθείη τις, εἰ μηδὲ ἐν τούτοις τὸ ἀληθές ἐστιν; D

Ἐγένοντό τινες πρὸ πολλοῦ χρόνου πάντων τούτων τῶν νο-
μιζομένων φιλοσόφων παλαιότεροι, μακάριοι καὶ δίκαιοι καὶ θεο-
φιλεῖς, θείῳ πνεύματι λαλήσαντες καὶ τὰ μέλλοντα θεσπίσαντες, ἃ
δὴ νῦν γίνεται· προφήτας δὲ αὐτοὺς καλοῦσιν. Οὗτοι μόνοι
τὸ ἀληθὲς καὶ εἶδον καὶ ἐξεῖπον ἀνθρώποις, μήτ' εὐλαβηθέντες
μήτε δυσωπηθέντες τινά, μὴ ἡττημένοι δόξης, ἀλλὰ μόνα ταῦ- E
τα εἰπόντες ἃ ἤκουσαν καὶ ἃ εἶδον ἁγίῳ πληρωθέντες πνεύ-
ματι. Συγγράμματα δὲ αὐτῶν ἔτι καὶ νῦν διαμένει, καὶ ἔστιν
ἐντυχόντα τούτοις πλεῖστον ὠφεληθῆναι καὶ περὶ ἀρχῶν καὶ περὶ
τέλους καὶ ὧν χρὴ εἰδέναι τὸν φιλόσοφον, πιστεύσαντα ἐκείνοις.
Οὐ γὰρ μετὰ ἀποδείξεως πεποίηνται [1] τότε τοὺς λόγους, ἅτε ἀνω-

2. οὐ ζωὴ ... τ. ζωῆς] Imitatus est hunc locum Irenaeus adv. haeres. II. c. 34. §. 4. p. 169. ed. Massuet.: „Anima ipsa quidem non est vita, participatur autem a Deo sibi praestitam vitam.“ Refellit autem senex hoc loco sententiam Platonis, qui in Phaedone p. 105. ed. Steph. (Opp. ed. Bip. Vol. I. p. 238. sqq.) animam immortalem esse demonstrat, quia quidquid complectitur anima, semper illi vitam affert, nec proinde contrarium illius, quod semper affert, accipere possit. Idem Plato in Phaedro p. 245. C (Vol. X. p. 318.). Sic loquitur: *Πᾶσα ψυχὴ ἀθάνατος· τὸ γὰρ ἀεικίνητον ἀθάνατον, τὸ δ' ἄλλο κινοῦν καὶ ὑπ' ἄλλου κινούμενον, παῦλαν ἔχον κινήσεως, παῦλαν ἔχει καὶ ζωῆς. Μόνον δὴ τὸ αὐτὸ κινοῦν, ἅτε οὐκ ἀπολεῖπον ἑαυτό, οὔποτε λήγει κινούμενον.* Contra senex animam a seipsa nec motum nec vitam accipere pronuntiat. Sensit Justinus Platonem ab eo refelli, siquidem sene desinente ait: *Τίνι*

quod vita est, sed quod vitae particeps; aliud autem id quod alicujus est particeps, aliud id cujus est particeps. Vitae autem anima est particeps, quod eam Deus vivere vult. Sic etiam particeps aliquando non erit, quum eam Deus vivere nolet; non enim ut Dei, ita etiam animae propria vita est, verum quemadmodum homo non semper constat neque perpetuo corpus cum anima conjunctum est, sed quum solvi oportet hanc harmoniam, anima corpus relinquit nec jam exstat homo: sic etiam, quando animam non jam esse oportuerit, discedit ab ea spiritus vitalis nec jam exstat anima, sed et ipsa unde sumta est eo revertitur.

7. Quonam ergo jam quis, inquam, utatur magistro aut unde adjuvetur, si ne isti quidem verum viderunt?

Exstitere longe ab hoc tempore viri quidam istis omnibus, qui philosophi existimantur, antiquiores, beati et justi et Deo cari, qui Spiritu sancto afflante locuti et futura vaticinati sunt, quae quidem nunc fiunt: Prophetae vocantur. Hi verum soli et viderunt et hominibus nuntiarunt, nec metuentes nec reveriti quemquam nec gloriae cupiditate victi, sed ea tantum praedicantes quae audierant et viderant Spiritu sancto repleti. Exstant adhuc eorum scripta, quae si quis legat, plurimam inde et de principiis et de fine et de iis, quae philosophus scire debet, cognitionem adipisci poterit, fidem illis habens. Neque enim tunc demonstrationibus in disserendo utebantur, quippe

οὖν ἔτι τις χρήσαιτο διδασκάλῳ ἢ πόθεν ὠφεληθείη τις, εἰ μηδὲ ἐν τούτοις (Plat. videlicet atque Pythag.) *τὸ ἀληθές ἐστιν; Maranus.*

3. *Οὕτως . . . ζῆν*] His verbis nihil exprimitur nisi hoc: animam non per seipsam vivere, non propriam ei vitam inesse quemadmodum Deo. Vid. c. 5. not. 15..

4. *δι' αὐτῆς*] H. e. *per seipsam*. Cf. Apol. I. c. 5. not. 4.. Haud male Maran. *ἴδιον αὐτῆς* conjicit.

5. *ἀπέστη . . . ἔτι*] His, Jebb. inquit, consona habet S. Theophilus Ant. ad Autol. I. c. 7., non de sola anima sed de tota hujusce Universi mole scribens: *Οὗτός μου θεὸς . . . δοὺς πνεῦμα τὸ τρέφον αὐτήν* (sc. τ. *γῆν*), *οὗ ἡ πνοὴ ζωογονεῖ τὸ πᾶν· ὃς ἐὰν συσχῇ τὸ πνεῦμα παρ' ἑαυτῷ, ἐκλείψει τὸ πᾶν. Τούτῳ λαλεῖς, ἄνθρωπε, τοῦτον τὸ πνεῦμα ἀναπνεῖς.*

6. *αὐτὴ . . . πάλιν*] Coll. Eccles. XII. 7..

1. *τότε*] Pearson. conjicit *ποτέ.*

τέρω πάσης ἀποδείξεως ὄντες ἀξιόπιστοι μάρτυρες τῆς ἀληθείας· 225
τὰ δὲ ἀποβάντα καὶ ἀποβαίνοντα ἐξαναγκάζει συντίθεσθαι τοῖς
λελαλημένοις δι' αὐτῶν. Καίτοι γε καὶ διὰ τὰς δυνάμεις, ἃς ἐπε-
τέλουν, πιστεύεσθαι δίκαιοι ἦσαν, ἐπειδὴ καὶ τὸν ποιητὴν τῶν
ὅλων [2] θεὸν καὶ πατέρα ἐδόξαζον καὶ τὸν παρ' αὐτοῦ Χριστὸν
υἱὸν αὐτοῦ κατήγγελλον, ὅπερ οἱ ἀπὸ τοῦ πλάνου καὶ ἀκαθάρτου
πνεύματος ἐμπιπλάμενοι ψευδοπροφῆται οὔτε ἐποίησαν οὔτε ποιοῦ-
σιν, ἀλλὰ δυνάμεις τινὰς ἐνεργεῖν εἰς κατάπληξιν τῶν ἀνθρώπων B
τολμῶσι καὶ [3] τὰ τῆς πλάνης πνεύματα καὶ δαιμόνια δοξολογοῦσιν.
Εὔχου δέ σοι πρὸ πάντων φωτὸς ἀνοιχθῆναι πύλας· [4] οὐ γὰρ
συνοπτὰ οὐδὲ συννοητὰ πασίν ἐστιν, εἰ μή τῳ θεὸς δῷ συνιέναι
καὶ ὁ Χριστὸς αὐτοῦ.

8. Ταῦτα καὶ ἔτι ἄλλα πολλὰ εἰπὼν ἐκεῖνος, ἃ νῦν καιρὸς
οὐκ ἔστι λέγειν, ᾤχετο, κελεύσας διώκειν αὐτά· καὶ οὐκ ἔτι αὐ-
τὸν εἶδον. [1] Ἐμοὶ δὲ παραχρῆμα πῦρ ἐν τῇ ψυχῇ ἀνήφθη, καὶ
ἔρως εἶχέ με τῶν προφητῶν καὶ τῶν ἀνδρῶν ἐκείνων, οἵ εἰσι C
Χριστοῦ φίλοι· διαλογιζόμενός τε πρὸς ἐμαυτὸν τοὺς λόγους αὐτοῦ
[2] ταύτην μόνην εὕρισκον φιλοσοφίαν ἀσφαλῆ τε καὶ σύμφορον.
Οὕτως δὴ καὶ διὰ ταῦτα φιλόσοφος ἐγώ. [3] Βουλοίμην δ' ἂν καὶ
πάντας ἴσον ἐμοὶ θυμὸν ποιησαμένους μὴ ἀφίστασθαι τῶν τοῦ
σωτῆρος λόγων· δέος γάρ τι ἔχουσιν ἐν ἑαυτοῖς καὶ ἱκανοὶ δυσω- D
πῆσαι τοὺς ἐκτρεπομένους τῆς ὀρθῆς ὁδοῦ, ἀνάπαυσίς τε ἡδίστη
γίνεται τοῖς ἐκμελετῶσιν αὐτούς. Εἰ οὖν τι καὶ σοὶ περὶ σεαυτοῦ
μέλει καὶ ἀντιποιῇ σωτηρίας καὶ ἐπὶ τῷ θεῷ πέποιθας, [4] ἅπερ οὐκ
ἀλλοτρίῳ τοῦ πράγματος, πάρεστιν ἐπιγνόντι σοι τὸν Χριστὸν τοῦ
θεοῦ καὶ [5] τελείῳ γενομένῳ εὐδαιμονεῖν.

2. θεὸν κ. πατέρα] Conjectat Thirlb. κ. πατέρα θεόν.

3. τὰ . . . δαιμόνια] Coll. 1. Timoth. IV. 1..

4. οὐ...αὐτοῦ] Quare c. 58. p. 280. B. ait: Οὐδὲ δύναμις ἐμοὶ τοιαύτη τις ἐστίν, ἀλλὰ χάρις παρὰ θεοῦ μόνη εἰς τὸ συνιέναι τὰς γραφὰς αὐτοῦ ἐδόθη μοι. Jam Philo (De Cherub. c. 9. [Opp. ed. Richt. T. I.] p. 205.) inspirationem quamdam necessariam putabat ad scripturam sacram recte intelligendam.

1. Ἐμοὶ . . . εἶχέ] Sic ex levi mutatione Thirlb. refingendum censet pro lectione vulgari Ἐμοῦ . . . ἔχει, quae nulla ratione potest ferri. Nec tam fidum librariorum mancipium sum, ut formas legitimas non reponam in textu. Aliis fortasse libet legere ᾕρει; vid. c. 2. not. 12..

2. ταύτην . . . ἐγώ] Trypho c. 1. p. 218. B: Τίς ἡ σὴ φιλοσοφία,

qui supra demonstrationem omnem gravissimi testes fuerint veritatis: sed quae evenerunt et eveniunt, assentiri cogunt eorum vaticiniis. Quamquam et ob miracula, quae ediderunt, digni fuere, quibus crederetur, siquidem creatorem universorum Deum et patrem celebrabant et missum ab eo Christum, qui filius ejus est, hominibus nuntiabant, quod quidem falsi prophetae, mendaci et impuro spiritu repleti, nec fecere nec faciunt, sed quaedam prodigia edere audent ad percellendos homines ac spiritus erroris et daemonia celebrant. Tu vero ante omnia precare lucis portas tibi aperiri; non enim haec quisquam perspicere et intelligere potest, nisi cui Deus intelligere dederit et Christus ejus.

8. Haec ille et multa alia quum dixisset, quae referre non est hujus temporis, abiens praecepit, ut ea meditando persequerer; neque eum amplius vidi. Mihi vero statim in animo ignis accensus est, meque amor invasit prophetarum et hominum illorum, qui Christi sunt amici; ac revolvens mecum illius sermones, hanc solam comperi esse philosophiam tutam atque utilem. Ad hunc modum atque hac de causa ego philosophus prodii. Vellem equidem, ut omnes rationem meae similem animo ineuntes a Salvatoris doctrina non aberrarent; habet enim in se terribilem quamdam majestatem et ad eos permovendos idonea est, qui de recta via deflexerunt: his autem, qui eam meditantur, suavissima est requies. Si qua ergo tui ipsius cura tangeris salutisque cupidus es ac Deo confidis, licet tibi, utpote ab ipsa re non alieno, ubi Christum Dei agnoveris et initiatus fueris, beate vivere.

εἰπὲ ἡμῖν.

3. *Βουλοίμην ... λόγων*] Coll. Act. apost. XXVI. 29. Praeter alios Tatianus quoque (Orat. adv. Graec. c. 29. p. 165. B. coll. c. 35. p. 170. B. ed. Colon.) et Theophilus Ant. (ad Autol. I. c. 14. p. 78. D) quum Veteris Testamenti tum scriptorum propheticorum lectione ad rem christianam pervenere.

4. *ἅπερ οὐκ ἀλλ. τ. πρ.*] *ἅπερ* i. q. *ἅτε* (c. 7. p. 224. E). Illa verba Perionius ad Deum refert, ad Tryphonem Langus, quocum Maranus facit: Judaeus enim quum in prophetis tam multa de Christo legeret, alienus quodam modo ab iis, quae Christum spectant, videri non debebat.

5. *τελείῳ γενομένῳ*] Perion.,

Ταῦτά μου, [6] φίλτατε, εἰπόντος οἱ μετὰ τοῦ Τρύφωνος ἀνε-
γέλασαν, αὐτὸς δὲ ὑπομειδιάσας· Τὰ μὲν ἄλλα σου, φησίν, ἀπο-
δέχομαι καὶ ἄγαμαι τῆς περὶ τὸ θεῖον ὁρμῆς, ἄμεινον δὲ ἦν φιλο- E
σοφεῖν ἔτι σε τὴν Πλάτωνος ἢ ἄλλου του φιλοσοφίαν, ἀσκοῦντα
καρτερίαν καὶ ἐγκράτειαν καὶ σωφροσύνην, ἢ λόγοις ἐξαπατηθῆ-
ναι ψευδέσι καὶ ἀνθρώποις ἀκολουθῆσαι οὐδενὸς ἀξίοις. Μένοντι
γάρ σοι ἐν ἐκείνῳ τῷ τῆς φιλοσοφίας τρόπῳ καὶ ζῶντι ἀμέμπτως 226
ἐλπὶς ὑπελείπετο ἀμείνονος μοίρας· καταλιπόντι δὲ τὸν θεὸν καὶ
εἰς ἄνθρωπον ἐλπίσαντι ποία ἔτι περιλείπεται σωτηρία; Εἰ οὖν
καὶ ἐμοῦ θέλεις ἀκοῦσαι (φίλον γάρ σε ἤδη νενόμικα), πρῶτον
μὲν περιτεμοῦ, εἶτα φύλαξον, ὡς νενόμισται, τὸ σάββατον καὶ
τὰς ἑορτὰς καὶ τὰς νουμηνίας τοῦ θεοῦ καὶ ἁπλῶς τὰ ἐν τῷ νόμῳ B
γεγραμμένα πάντα ποίει, καὶ τότε σοι ἴσως ἔλεος ἔσται παρὰ
θεοῦ. Χριστὸς δὲ εἰ καὶ [7] γεγένηται καὶ ἔστι που, ἄγνωστός
ἐστι καὶ οὐδὲ αὐτός πω ἑαυτὸν ἐπίσταται οὐδὲ ἔχει δύναμίν τινα,
μέχρις ἂν ἐλθὼν Ἠλίας χρίσῃ αὐτὸν καὶ φανερὸν πᾶσι ποιήσῃ·
ὑμεῖς δὲ ματαίαν ἀκοὴν παραδεξάμενοι Χριστὸν ἑαυτοῖς τινὰ ἀνα-
πλάσσετε καὶ αὐτοῦ χάριν τανῦν ἀσκόπως ἀπόλλυσθε.

9. Συγγνώμη σοι, ἔφην, ὦ ἄνθρωπε, καὶ ἀφεθείη σοι· οὐ
γὰρ οἶδας ὃ λέγεις, ἀλλὰ πειθόμενος τοῖς διδασκάλοις, οἳ οὐ συν- C
ίασι τὰς γραφάς, καὶ ἀπομαντευόμενος λέγεις ὅ τι ἂν σοι ἐπὶ
θυμὸν ἔλθοι. [1] Εἰ δὲ βούλοιο τούτου πέρι δέξασθαι λόγον, ὡς
οὐ πεπλανήμεθα [2] οὐδὲ παυσόμεθα ὁμολογοῦντες [3] τοῦτον, κἂν

Lang., Jebb., Thirlb. vitae perfectionem (Clem. Al. Paedag. I. c. 6. §. 26. [Opp. ed. Klotz. Tom. I.] p. 122.) intelligunt, baptismum Sylburg. et Maran.. Hic revera significatur, ita tamen, ut eo simul illa comprehendatur. C. 44. p. 263. B. C: . . . δι' ἧς ὁδοῦ . . . ἐλπὶς τῆς κληρονομίας τῶν κατηγγ. ἀγαθῶν· ἔστι δ' οὐκ ἄλλη ἢ αὕτη, ἵνα τοῦτον τὸν Χριστὸν ἐπιγνόντες καὶ λουσάμενοι τὸ ὑπὲρ ἀφέσεως ἁμαρτιῶν διὰ Ἠσ. κηρ. λουτρὸν ἀναμαρτήτως λοιπὸν ζήσητε. Comp. Apol. I. c. 66. p. 98. A.

6. φίλτατε] Sc. Μάρκε Πομπήϊε (c. 141. p. 371. B), de quo adeas librum meum: De Justini Mart. scriptis et doctr. p. 23..

7. γεγένηται] Mallet Thirlb. γεγέννηται. Sed cf. c. 69. p. 295. A., Apol. I. c. 21. p. 66. E. al..

1. Εἰ δὲ β. τούτου πέρι δέξασθαι etc.] Omnes praeter Maranum ediderunt περιδέξασθαι, quod in Cod. Reg. est. Thirlb. conjecit παραδέξασθαι; sed nostram firmat scripturam Cod. Clarom. eamdemque (coll. c. 5. p. 223. C) jam Sylburg. indicat. Idem V. D. post λόγον deesse putat μαθήσῃ, κατα-

Quae quum dixissem, carissime, riserunt socii Tryphonis, ipse autem subridens: Cetera quidem tua, inquit, probo ac vehemens rerum divinarum studium admiror, sed satius erat adhuc te philosophari in Platonis aut alterius cujusdam disciplina, dantem operam constantiae et continentiae et temperantiae, quam falsis decipi sermonibus ac hominibus adhaerescere nullius pretii. Manenti enim tibi in illo philosophiae instituto et citra culpam viventi spes relinquebatur sortis melioris; Deum autem deserenti et spem in homine constituenti quid adhuc relinquitur salutis? Quare si me quoque audire voles (jam enim te amicum existimo), fac primum ut circumcidaris, deinde observa, ut lege sancitum est, sabbatum et dies festos et novilunia Dei, uno verbo quae in lege scripta sunt omnia exsequere, et tum tibi forsitan misericordia erit a Deo. Christus autem siquidem natus est aut uspiam versatur, ignotus est ac ne ipse quidem seipsum novit nec ulla virtute praeditus est, donec eum adveniens Elias unxerit et manifestum omnibus fecerit; vos autem inani auditione excepta Christum vobis quemdam fingitis et ejus causa nunc peritis inconsiderate.

9. Ignoscatur, inquam, o homo, et condonetur tibi: neque enim scis quid dicas, sed obsequens magistris, qui Scripturas non intelligunt, et hariolans loqueris, quidquid tibi in mentem venerit. Quodsi id tibi rationibus probari pateris, nos scilicet deceptos non esse nec desituros hunc confiteri, etiamsi nobis

νοήσεις (*intelligas profecto*) vel simile quid. Maran. locum sanare studet negligendo illud *γὰρ* post *παρεστῶτι* vel legendo *γέ*, ut inde a *παρεστῶτι* apodosis incipiat. Sed tum quoque particula *γάρ*, cui proprie vis affirmandi et asseverandi (vern. *gar*, *in der That*) inest, videtur retineri posse. Verum enim vero ne hoc quidem necessarium est, si *εἰ* cum Thirlbio *utinam* interpreteris, quo modo facile fertur; quamquam quosdam video, qui malint *εἴθε*.

2. *οὐδὲ πανσόμεθα*] Haec dicit Justinus, ut inepta Tryphonis consilia refellat, qui ad circumcisionem amplectendam hortatus fuerat. Simili modo refelluntur, qui metuere se fingebant, ne Christiani Crucifixo relicto Polycarpum colere inciperent. *Atque haec ajebant*, inquit ecclesia Smyrnensis in Act. S. Polycarpi, *suggerentibus et instantibus Judaeis ... ignari quod nec Christum umquam derelinquere poterimus ... nec alium quemquam colere* (*ἀγνοοῦντες ὅτι οὔτε τὸν Χριστὸν ποτὲ καταλιπεῖν δυνησόμεθα... οὔτε ἕτερόν τινα σέβειν*). *Maranus.*

3. *τοῦτον*] Cod. Reg. ad mar-

τὰ ἐξ ἀνθρώπων ἡμῖν ἐπιφέρωνται ὀνείδη, κἂν ὁ δεινότατος ἀπει-
πεῖν ἀναγκάζῃ τύραννος· παρεστῶτι γὰρ δείξω, ὅτι οὐ κενοῖς
ἐπιστεύσαμεν μύθοις οὐδὲ ἀναποδείκτοις λόγοις, ἀλλὰ μεστοῖς D
πνεύματος θείου καὶ δυνάμει βρύουσι καὶ τεθηλόσι χάριτι. Ἀνε-
γέλασαν οὖν πάλιν οἱ μετ' αὐτοῦ καὶ ἄκοσμον ἀνεφθέγγοντο· ἐγὼ
δὲ ἀναστὰς οἷός τ' ἤμην ἀπέρχεσθαι, ὁ δέ μου τοῦ ἱματίου λαβό-
μενος οὐ πρὶν [4] ἀνήσειν ἔφη, πρὶν ὃ ὑπεσχόμην ἐκτελέσαι. Μὴ
οὖν, ἔφην, θορυβείτωσαν οἱ ἑταῖροί σου μηδὲ ἀσχημονείτωσαν
οὕτως, ἀλλ' εἰ μὲν βούλονται, μετὰ ἡσυχίας ἀκροάσθωσαν, εἰ δὲ
καὶ ἀσχολία τις αὐτοῖς ὑπέρτερος ἐμποδών ἐστιν, ἀπίτωσαν· ἡ- E
μεῖς δὲ ὑποχωρήσαντές ποι καὶ ἀναπαυσάμενοι περαίνωμεν τὸν
λόγον. Ἔδοξε καὶ τῷ Τρύφωνι οὕτως ἡμᾶς ποιῆσαι, καὶ δὴ
ἐκνεύσαντες εἰς τὸ μέσον τοῦ ξύστου στάδιον ᾔειμεν· τῶν δὲ
σὺν αὐτῷ δύο χλευάσαντες καὶ τὴν σπουδὴν ἡμῶν ἐπισκώψαντες
ἀπηλλάγησαν. Ἡμεῖς δὲ ὡς ἐγενόμεθα ἐν ἐκείνῳ τῷ τόπῳ, ἔνθα 227
ἑκατέρωθεν λίθινοί εἰσι θῶκοι, ἐν τῷ ἑτέρῳ καθεσθέντες οἱ μετὰ
τοῦ Τρύφωνος, ἐμβαλόντος τινὸς αὐτῶν λόγον περὶ τοῦ κατὰ
τὴν Ἰουδαίαν γενομένου πολέμου, διελάλουν.

10. Ὡς δὲ ἀνεπαύσαντο, ἐγὼ οὕτως αὐτοῖς πάλιν ἠρξάμην·
Μὴ ἄλλο τί ἐστιν ὃ ἐπιμέμφεσθε ἡμᾶς, ἄνδρες φίλοι, ἢ τοῦτο,
ὅτι οὐ κατὰ τὸν νόμον βιοῦμεν, οὐδὲ ὁμοίως τοῖς προγόνοις ὑμῶν
περιτεμνόμεθα τὴν σάρκα, οὐδὲ ὡς ὑμεῖς σαββατίζομεν; Ἢ καὶ
ὁ βίος ἡμῶν καὶ τὸ ἦθος διαβέβληται παρ' ὑμῖν; Τοῦτο δ' ἔστιν B
ὃ λέγω, μὴ καὶ ὑμεῖς πεπιστεύκατε περὶ ἡμῶν, [1] ὅτι δὴ ἐσθίομεν
ἀνθρώπους καὶ μετὰ τὴν εἰλαπίνην ἀποσβεννύντες τοὺς λύχνους
ἀθέσμοις μίξεσιν ἐγκυλιόμεθα, ἢ αὐτὸ τοῦτο καταγινώσκετε ἡ-
μῶν μόνον, ὅτι τοιούτοις προσέχομεν λόγοις καὶ οὐκ ἀληθεῖ, ὡς
οἴεσθε, πιστεύομεν δόξῃ;

Τοῦτ' ἐστὶν ὃ θαυμάζομεν, ἔφη ὁ Τρύφων, περὶ δὲ ὧν οἱ

ginem εἰς τοῦτον.

4. ἀνήσειν] Sic Lang., Pearson. et Maran. recte censent reponendum esse. Vulg. enim ἀνύσειν cum Sylburgio vix ita defendi poterit, ut subaudiatur τι (*effecturum me aliquid*). Thirlb. conjecerat ἀπονεύσειν, sed (in Add.), uti Sylburgius, Langi emendationem amplectitur.

1. ὅτι . . . ἐγκυλιόμεθα] Vid.

opprobria ab hominibus inferantur, etiamsi saevissimus deficere cogat tyrannus: praesenti tibi demonstrabo, non vanis nos credidisse fabulis nec destitutis argumento sermonibus, sed Spiritu sancto plenis et virtute scatentibus et gratia efflorescentibus. Riserunt igitur iterum ejus comites atque indecore clamarunt: tum ego quum surrexissem, abeunti similis eram, sed ille arrepta veste prius dimissurum negavit, quam promissum exsolvissem. Ne ergo tumultuentur, inquam, socii tui nec sic se gerant indecore, sed si volunt, silentio auscultent, si qua autem potior eos occupatio interpellat, abeant; nos autem secedamus aliquo ibique requiescentes disputationem exsequamur. Visum est etiam Tryphoni, ut ita faceremus, quumque inter nos innuissemus, in medium xysti stadium venimus; duo autem ex ejus comitibus, quum cavillati essent et in studium nostrum jocati, discesserunt. Ubi in illo loco fuimus, ubi sedilia lapidea sunt ex utraque parte, amici Tryphonis in altera sedentes, quum eorum aliquis de bello in Judaea gesto mentionem injecisset, colloquebantur.

10. Postquam finem fecere, ita ad eos rursum incepi: Utrum aliud nihil in nobis, amici, reprehenditis, nisi quod secundum legem non vivamus, neque ut majores vestri carne circumcidamur, neque ut vos sabbata servemus? An vita etiam et mores nostri malis apud vos rumoribus flagrant? Quod autem dico hoc est, utrum vos quoque de nobis opinionem accepistis, humanis nos vesci carnibus et post epulum exstinctis lucernis in flagitiis nefandis volutari, an hoc ipsum in nobis solum condemnatis, quod ejusmodi adhaereamus doctrinae ac falsae, ut vobis videtur, opinioni credamus?

Hoc est quod miramur, inquit Trypho, quae autem dicti-

Apol. I. c. 26. not. 29.. Coll. Origen. c. Cels. VI. 27. (Opp. ed. de la Rue Tom. I.) p 651.: *Δοκεῖ μοι* (Celsus) *παραπλήσιον Ἰουδαίοις πεποιηκέναι τοῖς κατὰ τὴν ἀρχὴν τῆς τοῦ χριστιανισμοῦ διδασκαλίας κατασκεδάσασι δυσφημίαν τοῦ λόγου· ὡς ἄρα καταθύσαντες παιδίον μεταλαμβάνουσιν αὐτοῦ τῶν σαρκῶν, καὶ πάλιν ὅτι οἱ ἀπὸ τοῦ λόγου τὰ τοῦ σκότους πράττειν βουλόμενοι σβεννύουσι μὲν τὸ φῶς, ἕκαστος δὲ τῇ παρατυχούσῃ μίγνυται* etc..

πολλοὶ λέγουσιν, [2] οὐ πιστεῦσαι ἄξιον· πόῤῥω γὰρ κεχώρηκε τῆς
ἀνθρωπίνης φύσεως. Ὑμῶν δὲ καὶ τὰ ἐν τῷ λεγομένῳ εὐαγγε- C
λίῳ παραγγέλματα θαυμαστὰ οὕτως καὶ μεγάλα ἐπίσταμαι εἶναι,
ὡς ὑπολαμβάνειν μηδένα δύνασθαι φυλάξαι αὐτά· ἐμοὶ γὰρ ἐμέ-
λησεν ἐντυχεῖν αὐτοῖς. Ἐκεῖνο δὲ ἀποροῦμεν μάλιστα, εἰ ὑμεῖς,
εὐσεβεῖν λέγοντες καὶ τῶν ἄλλων οἰόμενοι διαφέρειν, κατ' οὐδὲν
αὐτῶν ἀπολείπεσθε, οὐδὲ διαλλάσσετε ἀπὸ τῶν ἐθνῶν τὸν ὑμέ-
τερον βίον ἐν τῷ μήτε τὰς ἑορτὰς μήτε τὰ σάββατα τηρεῖν μήτε D
τὴν περιτομὴν ἔχειν, καὶ ἔτι ἐπ' ἄνθρωπον [3] σταυρωθέντα τὰς
ἐλπίδας ποιούμενοι ὅμως ἐλπίζετε τεύξεσθαι ἀγαθοῦ τινὸς παρὰ
τοῦ θεοῦ, μὴ ποιοῦντες αὐτοῦ τὰς ἐντολάς. Ἢ οὐκ [4] ἀνέγνως,
ὅτι [5] ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ γένους αὐτῆς, ἥτις
οὐ περιτμηθήσεται τῇ ὀγδόῃ ἡμέρᾳ; Ὁμοίως δὲ καὶ περὶ τῶν
[6] ἀλλογενῶν καὶ περὶ τῶν ἀργυρωνήτων διέσταλται. Ταύτης οὖν
τῆς διαθήκης [7] εὐθέως καταφρονήσαντες ὑμεῖς ἀμελεῖτε καὶ [8] τῶν E
ἔπειτα, καὶ πείθειν ἡμᾶς ἐπιχειρεῖτε ὡς εἰδότες τὸν θεόν, μηδὲν
πράσσοντες ὧν οἱ φοβούμενοι τὸν θεόν. Εἰ οὖν ἔχεις πρὸς ταῦ-
τα ἀπολογήσασθαι καὶ ἐπιδεῖξαι, ᾧτινι τρόπῳ ἐλπίζετε ὁτιοῦν κἂν
μὴ φυλάσσοντες τὸν νόμον, τοῦτό σου ἡδέως ἀκούσαιμεν μάλιστα,
καὶ τὰ ἄλλα δὲ ὁμοίως [9] συνεξετάσωμεν.

11. Οὔτε ἔσται ποτὲ ἄλλος θεός, ὦ Τρύφων, οὔτε ἦν ἀπ'
αἰῶνος (ἐγὼ οὕτως πρὸς αὐτόν) πλὴν τοῦ ποιήσαντος καὶ δια- 228
τάξαντος τόδε τὸ πᾶν. Οὐδὲ ἄλλον μὲν ἡμῶν, ἄλλον δὲ ὑμῶν
ἡγούμεθα θεόν, ἀλλ' αὐτὸν ἐκεῖνον τὸν ἐξαγαγόντα τοὺς πατέρας
ὑμῶν ἐκ γῆς Αἰγύπτου ἐν χειρὶ κραταιᾷ καὶ βραχίονι ὑψηλῷ·
οὐδ' εἰς ἄλλον τινὰ ἠλπίκαμεν (οὐ γάρ ἐστιν), ἀλλ' εἰς τοῦτον,

2. οὐ ... φύσεως] Tertullianus Apolog. c. 8. (Opp. ed. Leopold. P. I.) p. 66.: „Ut fidem naturae ipsius appellem adversus eos, qui talia credenda esse praesumunt.“

3. σταυρωθέντα] Stephan. et Jebb. hîc et in sequentibus aliquoties habent στρωθέντα scripturae compendio, quo στρὸς pro σταυρός passim invenitur.

4. ἀνέγνως] Alii scribent ἂν ἔγνως. Quod tu cave faxis. Infra c. 11. p. 228. A. C. Justinus respondens: Νυνὶ δὲ ἀνέγνων γὰρ ... Ἢ σύ (hoc ἐμφατικῶς dictum; reddit enim Tryphoni interrogationem suam) ταῦτα οὐκ ἀνέγνως etc..

5. ἐξολοθρευθήσεται ... ἡμέρᾳ] Genes. XVII. 14..

6. ἀλλογενῶν] Fortasse οἰκογενῶν. Vid. Genes. XVII. 12. sq..

tant multi, fide digna non sunt; longe enim abhorrent ab humana natura. Sed et vestra illa in eo, quod vocatis, evangelio praecepta ita mirabilia et magna esse scio, ut suspicio sit neminem ea posse servare; mihi enim curae fuit, ut ea legerem. In eo autem potissimum haeremus incerti, quod, quum vos pietatem colere dicatis et ceteris praestare arbitremini, nulla tamen in re ab eis discedatis, nec vitam vestram a gentibus segregetis, ut qui nec ferias nec sabbata servetis nec circumcisionem habeatis: deinde etiam quod, quum spes in homine crucifixo positas habeatis, speretis tamen aliquid boni a Deo consecuturos non observatis ejus mandatis. An non legisti, *deletum iri animam illam ex genere suo, quae non circumcidetur octavo die?* Quod quidem pariter et de alienigenis et de pretio emtis sancitum est. Hoc igitur foedus statim contemnentes etiam quae consequuntur floccifacitis, ac nobis persuadere conamini Deum vobis notum esse, licet nihil eorum faciatis, quae praestant Deum timentes. Quodsi potes his de rebus satisfacere ac demonstrare, quo tandem pacto quidquam speretis, quamvis legem non custodiatis, id ex te libentissime audiemus, ac cetera similiter una excutiemus.

11. Nec alius umquam erit Deus, Trypho, nec alius a saeculo exstitit (ita ego ad illum) praeter eum qui hanc universitatem fecit ac disposuit. Neque alium nobis, alium vobis Deum esse ducimus, sed ipsum illum, qui patres vestros eduxit e terra Aegypti in manu potenti et brachio excelso; neque in alium quemquam speramus (non enim alius est), sed in eum, in quem

Sed est quod pro vulgata lectione dici possit. *Thirlbius.*

7. εὐθέως] H. e. *protinus.* Habebat enim Marano adnotante circumcisio aliquid molesti, quod statim animos alienabat. Quapropter non opus est Thirlbii conjecturis εὐήθως vel (transposito vocabulo) εὐθέως ἀμελεῖτε. Ipsi V. D. neutrum placet; inde putat, εὐθέως idem esse ac *temere.*

8. τῶν ἔπειτα] Non aeternae legis observationem in Christianis requirit Judaeus: nam supra illorum in hoc genere doctrinam admirabilem esse confessus est: sed ejusmodi praecepta ab illis negligi queritur, quae ex circumcisione consequebantur. *Maranus.*

9. συνεξετάσωμεν] Legi potest etiam συνεξετάσομεν. *Sylburgius.*

εἰς ὃν καὶ ὑμεῖς, τὸν θεὸν τοῦ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.
[1] Ἠλπίκαμεν δὲ οὐ διά Μωσέως οὐδὲ διὰ τοῦ νόμου· ἦ γὰρ ἂν
τὸ αὐτὸ ὑμῖν ἐποιοῦμεν. [2] Νυνὶ δὲ ἀνέγνων γάρ, ὦ Τρύφων, B
ὅτι ἔσοιτο καὶ τελευταῖος νόμος καὶ διαθήκη κυριωτάτη πασῶν,
ἣν νῦν δέον φυλάσσειν πάντας ἀνθρώπους, ὅσοι τῆς τοῦ θεοῦ
κληρονομίας ἀντιποιοῦνται. Ὁ γὰρ ἐν Χωρὴβ παλαιὸς ἤδη νόμος
καὶ ὑμῶν μόνων, ὁ δὲ πάντων ἁπλῶς· [3] νόμος δὲ κατὰ νόμου
τεθεὶς τὸν πρὸ αὐτοῦ ἔπαυσε, καὶ διαθήκη μετέπειτα γενομένη τὴν
προτέραν ὁμοίως [4] ἔστησεν. [5] Αἰώνιός τε ἡμῖν νόμος καὶ τελευ-
ταῖος ὁ Χριστὸς ἐδόθη καὶ ἡ διαθήκη πιστή, μεθ' ἣν οὐ νόμος, C
οὐ πρόσταγμα, οὐκ ἐντολή. [6] Ἦ σὺ ταῦτα οὐκ ἀνέγνως, ἅ φησιν
Ἡσαΐας; [7] Ἀκούσατέ μου, ἀκούσατέ μου, λαός μου, καὶ οἱ βασι-
λεῖς πρός με ἐνωτίζεσθε, ὅτι νόμος παρ' ἐμοῦ ἐξελεύσεται καὶ ἡ
κρίσις μου εἰς φῶς ἐθνῶν. Ἐγγίζει ταχὺ ἡ δικαιοσύνη μου, καὶ
ἐξελεύσεται τὸ σωτήριόν μου, καὶ εἰς τὸν βραχίονά μου ἔθνη ἐλπι-
οῦσι. Καὶ διὰ Ἰερεμίου περὶ ταύτης αὐτῆς τῆς καινῆς διαθήκης
οὕτω φησίν· [8] Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει κύριος, καὶ διαθήσο- D
μαι τῷ οἴκῳ Ἰσραὴλ καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινήν, οὐχ ἣν
διεθέμην τοῖς πατράσιν αὐτῶν ἐν ἡμέρᾳ, ᾗ ἐπελαβόμην τῆς χει-
ρὸς αὐτῶν, ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου. Εἰ οὖν ὁ θεὸς

1. *Ἠλπίκαμεν*] Hoc reponendum esse pro vulg. *ἠλπίσαμεν*, jam Sylburg. intellexit; sic etiam paulo antea legitur.

2. *Νυνὶ δὲ ἀνέγνων γάρ*] Editores post Stephanum verba *ἀνέγνων γὰρ* commatibus male includunt: *At nunc, legi enim, o Tr., futuram fuisse legem* etc.. Imo enim vero Maranus totum hunc locum inde ab *ἀνέγκων* ad *Αἰγύπτου* usque inclusoriis hamis notat. Omnes vexavit particula *γάρ*. Haec autem saepe post *νῦν δὲ* sic infertur, ut pro bipartita oratione simplex ponatur. Igitur: *So aber habe ich ja gelesen*, h. e.: *Nunc autem non eadem ratione ac vos spero et ago, quum legerim* etc.. Scilicet supra c. 10. p. 227. D. quaesierat Trypho: *Ἦ οὐκ ἀνέγνως* etc.. Sic Plato Euthyph. p. 11. C. ed. Steph. (Opp. ed. Bip. Vol. I. p. 24.): *Νῦν δὲ σαὶ γὰρ αἱ ὑποθέσεις εἰσίν*. Vern.: *So aber sind es ja deine Annahmen*, h. e.: *Nunc autem ridere me non potes, quum tuae sint suppositiones istae*. Ib. p. 14. C (p. 31.): *Νῦν δὲ ἀνάγκη γὰρ ... ἀκολουθεῖν*. Conviv. p. 180. C (Vol. X. p. 182.): *Νῦν δὲ οὐ γάρ ἐστιν εἷς* al..

3. *νόμος δὲ κατὰ νόμου*] Non video cur displiceat haec scriptura erudito Londinensi editori, qui legendum arbitratur *νόμος δὲ μετὰ νόμον*. Legem adversus legem positam esse eo sensu docet Justinus, quod veritas adversus umbram,

et vos, Deum Abrahami et Isaaci et Jacobi. Speramus autem non per Mosen neque per legem; sic enim idem ac vos faceremus. Nunc vero legi, Trypho, novissimam legem futuram esse et foedus omnium firmissimum, quod nunc custodiri ab omnibus decet, quicumque haereditatem Dei consequi volunt. Nam quae in Chorebo promulgata lex est, vetus jam et vestra dumtaxat est, haec autem omnium prorsus est; lex autem adversus legem posita priorem abrogat, et similiter foedus posterius superiori finem imponit. Aeterna autem nobis et novissima lex Christus datus est et foedus fidele, post quod non lex, non praeceptum, non mandatum. An tu ea non legisti, quae dicit Jesaias? *Audite me, audite me, popule mi, et reges auscultate mihi, quoniam lex a me exibit et judicium meum in lucem gentium. Appropinquat celeriter justitia mea, et egredietur salutare meum, et in brachium meum gentes sperabunt.* Et per Jeremiam de hoc ipso foedere sic loquitur: *Ecce dies veniunt, dicit dominus, et instituam domui Israelis et domui Judae foedus novum, non quod testatus sum patribus eorum in die, qua apprehendi manum ipsorum, ut educerem eos ex terra Aegypti.* Si ergo novum foedus Deus institu-

testamentum aeternum adversus temporarium constitui dicitur. At non verendum, ne Justinus faveat haereticorum illius aetatis impietati, qui Evangelium opponebant Legi, ut veritatem mendacio et errori, et utriusque alium esse Deum fingebant. *Maranus.*

4. ἔστησεν] Sylburg. aptius putat *ἔσβεσεν (exstinxit).* At ἔστησεν belle respondet antecedenti verbo ἔπαυσε.

5. *Αἰώνιός τε* etc.] S. Clemens sub finem Strom. I. sic loquitur: *Μωσῆς δὲ φαίνεται τὸν κύριον διαθήκην καλῶν· ἰδοὺ ἐγώ, λέγων, ἡ διαθήκη μοῦ μετὰ σοῦ* (Genes. XVII. 4.). ... *Ἐν δὲ τῷ Πέτρου κηρύγματι εὕροις ἂν νόμον καὶ λόγον τὸν κύριον προσαγορευόμενον.* — Videtur Justinus in ejusmodi testimoniis de Christo intelligendis consentire cum Clemente et Christum existimasse in Jesaiae testimonio proxime sequenti legem, judicium, justitiam et salutare appellari. *Maranus.* Fortasse Martyr pro *τε* scripsit *δέ*, quod ante me Thirlb. conjecit. Sed non muto. Cf. c. 1. p. 217. D, c. 2. p. 218. E, c. 3. p. 220. B. E. al..

6. *Ἢ ... ἀνέγνως*] Vid. c. 10. not. 4..

7. *Ἀκούσατέ ... ἐλπιοῦσι*] Jesai. LI. 4. sq..

8. *Ἰδοὺ ... Αἰγύπτου*] Jerem. XXXI. 31. sq..

διαθήκην καινὴν ἐκήρυξε μέλλουσαν διαταχθήσεσθαι καὶ ταύτην εἰς
φῶς ἐθνῶν, ὁρῶμεν δὲ καὶ [9] πεπείσμεθα διὰ τοῦ ὀνόματος αὐτοῦ
τοῦ σταυρωθέντος Ἰησοῦ Χριστοῦ ἀπὸ τῶν εἰδώλων καὶ τῆς ἄλλης
ἀδικίας προσελθόντας τῷ θεῷ καὶ μέχρι θανάτου ὑπομένοντας [10] τὴν E
ὁμολογίαν καὶ εὐσέβειαν ποιεῖσθαι, καὶ ἐκ τῶν ἔργων καὶ ἐκ τῆς
παρακολουθούσης δυνάμεως συνιέναι πᾶσι δυνατόν, ὅτι [11] οὗτός
ἐστιν ὁ καινὸς νόμος καὶ ἡ καινὴ διαθήκη καὶ ἡ προσδοκία τῶν
ἀπὸ πάντων τῶν ἐθνῶν ἀναμενόντων τὰ παρὰ τοῦ θεοῦ ἀγαθά.
Ἰσραηλιτικὸν γὰρ τὸ ἀληθινόν, πνευματικόν, καὶ Ἰούδα γένος καὶ 229
Ἰακὼβ καὶ Ἰσαὰκ καὶ Ἀβραάμ, τοῦ ἐν ἀκροβυστίᾳ ἐπὶ τῇ πίστει
μαρτυρηθέντος ὑπὸ τοῦ θεοῦ καὶ εὐλογηθέντος καὶ πατρὸς πολ-
λῶν ἐθνῶν κληθέντος, ἡμεῖς ἐσμὲν οἱ [12] διὰ τούτου τοῦ σταυρω-
θέντος Χριστοῦ τῷ θεῷ προσαχθέντες, ὡς καὶ προκοπτόντων
ἡμῖν τῶν λόγων ἀποδειχθήσεται.

12. Ἔλεγον δὲ ἔτι καὶ προσέφερον, ὅτι καὶ ἐν ἄλλοις λό-
γοις Ἠσαΐας βοᾷ· [1] Ἀκούσατέ μου τοὺς λόγους, καὶ ζήσεται ἡ
ψυχὴ ὑμῶν, καὶ διαθήσομαι ὑμῖν διαθήκην αἰώνιον, τὰ ὅσια B
Δαβὶδ τὰ πιστά. Ἰδοὺ μάρτυρα αὐτὸν ἔθνεσι δέδωκα. Ἔθνη,
ἃ οὐκ οἴδασί σε, ἐπικαλέσονταί σε, λαοί, οἳ οὐκ ἐπίσταν-
ταί σε, καταφεύξονται ἐπί σε, ἕνεκεν τοῦ θεοῦ σου τοῦ ἁγίου
Ἰσραήλ, ὅτι ἐδόξασέ σε. Τοῦτον αὐτὸν ὑμεῖς ἠτιμώσατε τὸν
νόμον καὶ τὴν καινὴν ἁγίαν αὐτοῦ διαθήκην ἐφαυλίσατε, καὶ
οὐδὲ νῦν παραδέχεσθε οὐδὲ μετανοεῖτε πράξαντες κακῶς· [2] ἔτι C
γὰρ τὰ ὦτα ὑμῶν πέφρακται, οἱ ὀφθαλμοὶ ὑμῶν [3] πεπήρωνται,
καὶ πεπάχυται ἡ [4] καρδία. Κέκραγεν Ἰερεμίας, καὶ οὐδ' οὕτως
ἀκούετε· πάρεστιν ὁ νομοθέτης, καὶ οὐχ ὁρᾶτε· [5] πτωχοὶ εὐαγ-

9. *πεπείσμεθα*] Stephan. praeter necessitatem mallet *πεπύσμεθα* (*audivimus*).

10. *τὴν ὁμολ. καὶ εὐσέβ.*] Thirlbius: Fortasse, inquit, *τὴν ὁμολογίαν τῆς εὐσεβείας*. Sed nihil muto.

11. *οὗτός ἐ. ὁ καινὸς νόμος*] Haec de Christo intelligenda, ut patet ex his quae modo diximus (vid. not. 5., coll. c. 43. p. 261. C. al.). Ita etiam visum erudito Londinensi editori, qui interpretes reprehendit, quod ita reddiderint: *hanc esse novam legem*. *Maranus*.

12. *διὰ τούτου ... προσαχθ.*] Hac de formula consulas Apol. I. c. 49. not. 7.:

1. *Ἀκούσατέ ... ἐδόξ. σε*] Jesai. LV. 3. — 5..

2. *ἔτι ... καρδία*] Jesai. VI. 10..

3. *πεπήρωνται*] Wolf. sine cau-

tum iri praedicavit idque in lucem gentium, videmus autem ac persuasum habemus per nomen ipsius crucifixi Jesu Christi a simulacris et ab alia nequitia homines ad Deum accedere et ad mortem usque in confessione et pietate perseverare: quum ex operibus tum ex consequentibus miraculis licet omnibus intelligere, hunc esse novam legem et novum foedus et exspectationem eorum qui ex omnibus gentibus a Deo bona exspectant. Israeliticum enim verum, spirituale, et Judae genus et Jacobi et Isaaci et Abrahami, qui in praeputio propter fidem habuit comprobationem et benedictionem accepit et pater multarum gentium vocatus est, nos sumus, qui ad Deum per hunc crucifixum Christum perducti sumus, quemadmodum et oratione nobis procedente demonstrabitur.

12. Dicebam quoque et proferebam, alio etiam loco Jesaiam clamare: *Audite verba mea, et vivet anima vestra, et instituam vobis foedus sempiternum, sancta Davidis fidelia. Ecce testem gentibus dedi eum. Gentes, quae non noverunt te, invocabunt te, populi, qui nesciunt te, confugient ad te, propter Deum tuum sanctum Israelis, quoniam glorificavit te.* Hanc ipsam legem contumelia affecistis novumque illius sanctum foedus floccifecistis, ac ne nunc quidem recipitis nec prave factorum poenitentiam agitis: *adhuc enim aures vestrae obturatae sunt, oculi vestri obcaecati, et incrassatum est cor vestrum.* Exclamat Jeremias, ac ne sic quidem auditis; adest legislator, nec videtis; pauperes evangelium suscipiunt,

sa mavult *πεπώρωνται.*

4. *καρδία. Κέκραγεν Ἰερεμ.*] Eamdem distinctionem jam a Thirlbio indicatam Maranus optimo jure recepit. Sic enim singula hujus commatii membra venuste sibi respondent. Ceteri interpungunt perperam: ... *καρδία, κέκραγεν Ἰερ.* etc., ut proxima verba (*ἔτι ... καρδία*) attribuantur Jeremiae. Cujus in vaticiniis quum non inveniantur, Langus in interpretatione *Esaias* posuit. Respicit autem Martyr, ut Maran. quoque vidit, haud dubie ad superius Jeremiae testimonium (c. 11. p. 228. D), cujus contemtum Judaeis exprobrat. Quocirca non est, cur cum Thirlbio fortasse legendum existimemus *Ἰωάννης* aut *Ἠλίας*.

5. *πτωχοὶ ... βλέπουσιν*] Ev. Matth. XI. 5.

γελίζονται, τυφλοὶ βλέπουσι, καὶ οὐ συνίετε. [6] Δευτέρας ἤδη
χρεία περιτομῆς, καὶ ὑμεῖς ἐπὶ τῇ σαρκὶ μέγα φρονεῖτε· σαββα-
τίζειν ὑμᾶς ὁ καινὸς νόμος [7] διαπαντὸς ἐθέλει, καὶ ὑμεῖς μίαν
ἀργοῦντες ἡμέραν εὐσεβεῖν δοκεῖτε, μὴ νοοῦντες, διὰ τί ὑμῖν
προσετάγη· καὶ ἐὰν ἄζυμον ἄρτον φάγητε, πεπληρωκέναι τὸ θέ-
λημα τοῦ θεοῦ φατέ. Οὐκ ἐν τούτοις εὐδοκεῖ κύριος ὁ θεὸς D
[8] ἡμῶν. Εἴ τις ἔστιν ἐν ὑμῖν ἐπίορκος ἢ κλέπτης, παυσάσθω·
εἴ τις μοιχός, μετανοησάτω, [9] καὶ σεσαββάτικε τὰ τρυφερὰ καὶ
ἀληθινὰ σάββατα τοῦ θεοῦ· [10] εἴ τις καθαρὰς οὐκ ἔχει χεῖρας,
λουσάσθω, καὶ [11] καθαρός ἐστιν.

13. Οὐ γὰρ [1] δή γε εἰς βαλανεῖον ὑμᾶς ἔπεμπεν [2] Ἠσαΐας
ἀπολουσομένους ἐκεῖ τὸν φόνον καὶ τὰς ἄλλας ἁμαρτίας, [3] οὓς
οὐδὲ τὸ τῆς θαλάσσης ἱκανὸν πᾶν ὕδωρ καθαρίσαι, ἀλλά, ὡς εἰ- E
κός, πάλαι τοῦτο [4] ἐκεῖνο τὸ σωτήριον λουτρὸν ἦν, [5] ὃ εἶπε, τὸ
τοῖς μεταγινώσκουσι καὶ μηκέτι αἵμασι τράγων καὶ προβάτων ἢ
σποδῷ δαμάλεως ἢ σεμιδάλεως προσφοραῖς [6] καθαριζομένοις, ἀλ-
λὰ πίστει διὰ τοῦ αἵματος τοῦ Χριστοῦ καὶ τοῦ θανάτου αὐτοῦ,
ὃς διὰ τοῦτο ἀπέθανεν, ὡς αὐτὸς Ἠσαΐας ἔφη, οὕτω λέγων·
[7] Ἀποκαλύψει κύριος τὸν βραχίονα αὐτοῦ τὸν ἅγιον ἐνώπιον πάν-
των τῶν ἐθνῶν, καὶ ὄψονται πάντα τὰ ἔθνη καὶ τὰ ἄκρα τῆς γῆς 230
τὴν σωτηρίαν τὴν παρὰ τοῦ θεοῦ. Ἀπόστητε, ἀπόστητε, ἀπόστητε,
ἐξέλθετε ἐκεῖθεν καὶ ἀκαθάρτου μὴ ἅψησθε, ἐξέλθετε ἐκ μέσου
αὐτῆς, ἀφορίσθητε οἱ φέροντες τὰ σκεύη κυρίου, ὅτι οὐ μετὰ

6. *Δευτέρας ... φρονεῖτε*] Coll. ep. ad Philipp. III. 3.. Pro *ἐπὶ τῇ σαρκὶ* Thirlb. mavult *ἐπὶ τῇ σαρκικῇ* vel *ἐπὶ τῇ ἐν τῇ σαρκί*. Ast nihil mutandum.

7. *διαπαντὸς*] Hoc ad *σαββατ.* referendum est. Tertullianus adv. Judaeos c. 4. (Opp. ed. Leopold. P. IV.) p. 298.: „Unde nos intelligimus magis, sabbatizare nos ab omni opere servili semper debere, et non tantum septimo quoque die, sed per omne tempus.“

8. *ἡμῶν*] Thirlb. mallet *ὑμῶν*.

9. *καὶ ... θεοῦ*] Coll. Jesai. LVIII. 13..

10. *εἴ τις καθ. οὐκ ἔχει χεῖρας*] His verbis Thirlb. (in Addend.) hîc non tam facinorosos quam homicidas opinatur denotatos esse. Mox (c. 13.) *ἀπολ. ἐκεῖ τ. φόνον κ. τ. ἄλλ. ἁμαρτίας*.

11. *καθαρός ἐστιν*] Arcerius mavult *καθ. ἔσται*. Sic et Langus. Sed ad vulgatam lectionem defendendam Jebb. probe affert c. 14. p. 231. C. D: *Βάπτ. τ. ψυχὴν ... καὶ ἰδοὺ τὸ σῶμα καθ. ἐστι.*

caeci vident, nec intelligitis. Altera jam opus est circumcisione, vos autem in carne plurimum gloriamini; praecipit nova lex, ut perpetuum sabbatum celebretis, vos autem quod inertes estis per unum diem, pii vobis esse videmini, non intelligentes, cur id vobis praescriptum sit; et panem absque fermento si edatis, a vobis divinam voluntatem impletam dicitis. Non haec domino Deo nostro placent. Si quis in vobis est perjurus aut fur, desinat; si quis moechus, poenitentiam agat: et suavissima ac vera Dei sabbata celebravit; si quis puras manus non habet, lavet, et purus est.

13. Neque enim vos ad balneum misit Jesaias, ut ibi caedem et alia peccata ablueretis, quos expurgare ne tota quidem maris aqua idonea est, sed, ut par est, jam tum ipsum illud lavacrum salutare praedicabat, quod eorum est, qui poenitentiam agunt nec jam hircorum et ovium sanguine aut vitulae cinere similacve oblationibus expiantur, sed fide per sanguinem Christi et mortem ejus, qui ea ipsa de causa mortuus est, quemadmodum Jesaias ait his verbis: *Revelabit dominus brachium suum in conspectu cunctarum gentium, et videbunt omnes gentes et terrae fines salutem quae est a Deo. Recedite, recedite, recedite, egredimini inde et immundum nolite tangere, exite de medio ejus, separamini qui portatis vasa domini, quia non in tumultu ambulatis; praecedet enim ante*

1. *δή*] Maran. *δὲ* contra codices.

2. *Ἡσαΐας*] Coll. Jesai. I. 16..

3. *οὓς*] Thirlb. mallet *ἅς*: correctio calculo critico indigna.

4. *ἐκεῖνο ... θάν. αὐτοῦ*] Coll. ep. ad Hebr. IX. 13. sq..

5. *ὃ εἶπε, τὸ*] Codd. msti et editi corrupte *ὃ εἵπετο* (*quod secutum est*). Scriptura a nobis recepta debetur Marano. Sic enim infra c. 14. p. 231. C: *Τοῦτ' ἐκεῖνο, ὃ προηγόρευε, τὸ βάπτισμα, τὸ μόνον καθαρίσαι τοὺς μετανοήσαντας δυνάμενον, τοῦτό ἐστι τὸ ὕδωρ τῆς ζωῆς*. Et c. 44. p. 263. C: *τὸ ὑπὲρ ἀφέσεως τῶν ἁμαρτιῶν διὰ Ἡσαΐου κηρυχθὲν λουτρόν*. Justinum, inquit V. D., loqui de Christianorum baptismate manifestum est ex his verbis: *καὶ μηκέτι αἵμασι* etc..

6. *καθαριζομένοις*] Ita Maran. emendavit; exstat enim in libris mstis et editis *καθαριζομένους*, quod non potest ferri.

7. *Ἀποκαλύψει ... μεμισημένην*] Jesai. LII. 10. — LIV. 6..

ταραχῆς [8] πορεύεσθε· πορεύσεται γὰρ πρὸ προσώπου ὑμῶν κύ-
ριος καὶ ὁ ἐπισυνάγων ὑμᾶς κύριος ὁ θεὸς Ἰσραήλ. Ἰδοὺ συνήσει
ὁ παῖς μου καὶ ὑψωθήσεται καὶ δοξασθήσεται σφόδρα. Ὃν τρό-
πον ἐκστήσονται πολλοὶ ἐπί σε, οὕτως ἀδοξήσει ἀπὸ τῶν ἀνθρώ- B
πων τὸ εἶδος καὶ ἡ δόξα σου, οὕτω θαυμασθήσονται ἔθνη πολλὰ
ἐπ' αὐτῷ, καὶ συνέξουσι βασιλεῖς τὸ στόμα αὐτῶν· ὅτι οἷς οὐκ
ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσι. Κύ-
ριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων κυρίου τίνι ἀπεκα-
λύφθη; Ἀνηγγείλαμεν ἐναντίον αὐτοῦ ὡς [9] παιδίον, ὡς ῥίζα ἐν γῇ
διψώσῃ. Οὐκ ἔστιν εἶδος αὐτῷ οὐδὲ δόξα· καὶ εἴδομεν αὐτὸν καὶ
οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος, ἀλλὰ τὸ εἶδος αὐτοῦ ἄτιμον καὶ ἐκλεῖ- C
πον παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων. Ἄνθρωπος ἐν πληγῇ ὢν καὶ
εἰδὼς φέρειν μαλακίαν, ὅτι ἀπέστραπται τὸ πρόσωπον αὐτοῦ, ἠτι-
μάσθη καὶ οὐκ ἐλογίσθη. Οὗτος τὰς ἁμαρτίας ἡμῶν φέρει καὶ
περὶ ἡμῶν ὀδυνᾶται, καὶ ἡμεῖς ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ
καὶ ἐν πληγῇ καὶ ἐν κακώσει. [10] Οὗτος δὲ ἐτραυματίσθη διὰ τὰς
ἁμαρτίας ἡμῶν καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν· παιδεία
εἰρήνης ἡμῶν ἐπ' αὐτόν, τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν. Πάν- D
τες ὡς πρόβατα ἐπλανήθημεν, ἄνθρωπος τῇ ὁδῷ αὐτοῦ ἐπλανή-
θη. Καὶ κύριος παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν, καὶ αὐ-
τὸς διὰ τὸ κεκακῶσθαι οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ὡς πρό-
βατον [11] εἰς σφαγὴν ἤχθη· καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος
ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Ἐν τῇ ταπεινώσει
αὐτοῦ ἡ κρίσις αὐτοῦ ἤρθη. Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται;
Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ E
μου ἥκει εἰς θάνατον. Καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς
αὐτοῦ καὶ τοὺς πλουσίους ἀντὶ τοῦ θανάτου αὐτοῦ, ὅτι ἀνομίαν
οὐκ ἐποίησε καὶ οὐχ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Καὶ κύ-
ριος βούλεται καθαρίσαι αὐτὸν τῆς πληγῆς. Ἐὰν [12] δῶτε περὶ
τῆς ἁμαρτίας, ἡ ψυχὴ ὑμῶν ὄψεται σπέρμα μακρόβιον. Καὶ βού-

8. πορεύεσθε] Hanc lectionem habent etiam Aquila et Theodotion et sex Codd. msti Alexandrinae versionis (ed. Holmes.). Quare cum Marano non assentior Thirlbio, qui (in Corrig.) legendum monet πορεύσεσθε apud Justinum.

9. παιδίον] Uterque Cod. mstus mendose πεδίον.

10. Οὗτος] Vide annon Justinus fortasse scripserit rectius Αὐτός, ut in Bibliis et Apol. I. c. 50.

faciem vestram dominus et colliget vos dominus Deus Israelis. Ecce intelliget puer meus et exaltabitur et glorificabitur valde. Sicut stupebunt super te multi — sic ingloria erit ab hominibus species et gloria tua — sic mirabuntur gentes multae super eo, et continebunt reges os suum: quia quibus non est adnuntiatum de eo, videbunt, et qui non audierunt, intelligent. Domine, quis credidit auditui nostro, et brachium domini cui revelatum est? Adnuntiavimus in conspectu ejus tamquam puerulus, tamquam radix in terra sitienti. Non est species ei neque gloria; et vidimus eum, et non habebat speciem neque decorem, sed species ejus inhonorata et deficiens prae filiis hominum. Homo in plaga positus et sciens ferre infirmitatem, quia aversa est facies ejus, despecta neque reputata. Iste peccata nostra portat et pro nobis dolet, et nos reputavimus eum esse in labore et in plaga et in afflictione. Ipse autem vulneratus est propter peccata nostra et infirmatus est propter iniquitates nostras; disciplina pacis nostrae super eum, livore ejus nos sanati sumus. Omnes quasi oves erravimus, homo in via sua erravit. Et dominus tradidit eum propter iniquitates nostras, et ipse propter afflictionem non aperit os suum. Sicut ovis ad victimam ductus est; et sicut agnus coram tondente mutus, sic non aperit os suum. In humilitate sua judicium ejus sublatum est. Generationem ejus quis enarrabit? Quia tollitur de terra vita ejus; ab iniquitatibus populi mei transiit in mortem. Et dabo pessimos pro sepultura ejus et divites pro morte illius, quia iniquitatem non fecit neque est inventus dolus in ore ejus. Et dominus vult mundare eum a plaga. Si dederitis pro peccato, anima vestra videbit semen longaevum. Et vult dominus auferre de

p. 85. E.

11. *εἰς σφαγὴν*] C. 111. p. 338. C, c. 114. p. 341. D, Apol. I. c. 50. p. 86. A. *ἐπὶ σφαγήν*, quemadmodum Septuaginta. Et sic hîc quoque Martyr videtur scripsisse. Non vero mutamus.

12. *δῶτε*] Hoc reposui ex utroque Cod. msto. Nempe editio Stephaniana ceteraeque omnes habent *δῶται*, quod in Cod. Alex. *τῶν ο'* invenitur.

λεται κύριος ἀφελεῖν ἀπὸ τοῦ πόνου τῆς ψυχῆς αὐτοῦ, δεῖξαι
αὐτῷ φῶς, καὶ πλᾶσαι τῇ συνέσει, δικαιῶσαι δίκαιον εὖ δουλεύ-
οντα πολλοῖς. Καὶ τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνοίσει. Διὰ τοῦτο
αὐτὸς κληρονομήσει πολλούς, καὶ τῶν ἰσχυρῶν μεριεῖ σκῦλα, ἀνθ' 231
ὧν παρεδόθη εἰς θάνατον ἡ ψυχὴ αὐτοῦ, καὶ ἐν τοῖς ἀνόμοις
ἐλογίσθη, καὶ αὐτὸς ἁμαρτίας πολλῶν ἀνήνεγκε καὶ διὰ τὰς ἀνο-
μίας αὐτῶν παρεδόθη. Εὐφράνθητι στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον
καὶ βόησον ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλ-
λον, ἢ τῆς ἐχούσης τὸν ἄνδρα. Εἶπε γὰρ κύριος· Πλάτυνον τὸν
τόπον τῆς σκηνῆς σου [13] καὶ τῶν αὐλέων σου, πῆξον, μὴ φείσῃ,
μάκρυνον τὰ σχοινίσματά σου καὶ τοὺς πασσάλους σου κατίσχυσον,
εἰς τὰ δεξιὰ καὶ εἰς τὰ ἀριστερὰ ἐκπέτασον· καὶ τὸ σπέρμα σου B
ἔθνη κληρονομήσει, καὶ πόλεις ἠρημωμένας κατοικιεῖς. Μὴ φοβοῦ,
ὅτι κατῃσχύνθης, μηδὲ ἐντραπῇς, ὅτι ὠνειδίσθης, ὅτι αἰσχύνην
αἰώνιον ἐπιλήσῃ, καὶ ὄνειδος τῆς χηρείας σου οὐ μνησθήσῃ· ὅτι
κύριος ἐποίησεν ὄνομα ἑαυτῷ, καὶ ὁ ῥυσάμενός σε, αὐτὸς θεὸς
Ἰσραήλ, πάσῃ τῇ γῇ κληθήσεται. Ὡς γυναῖκα καταλελειμμένην
καὶ ὀλιγόψυχον κέκληκέ σε ὁ κύριος, ὡς γυναῖκα ἐκ νεότητος με-
μισημένην.

14. Διὰ τοῦ λουτροῦ οὖν τῆς μετανοίας καὶ τῆς γνώσεως τοῦ C
θεοῦ, ὃ ὑπὲρ τῆς ἀνομίας τῶν λαῶν τοῦ θεοῦ γέγονεν, ὡς Ἡσαΐ-
ας βοᾷ, ἡμεῖς ἐπιστεύσαμεν, καὶ γνωρίζομεν, ὅτι τοῦτ' ἐκεῖνο, ὃ
προηγόρευε, τὸ βάπτισμα, τὸ μόνον καθαρίσαι τοὺς μετανοήσαν-
τας δυνάμενον, τοῦτό ἐστι τὸ [1] ὕδωρ τῆς ζωῆς· οὓς δὲ ὑμεῖς ὠ-
ρύξατε λάκκους ἑαυτοῖς, συντετριμμένοι εἰσὶ καὶ οὐδὲν ὑμῖν χρή-
σιμοι. Τί γὰρ ὄφελος ἐκείνου τοῦ βαπτίσματος, ὃ τὴν σάρκα καὶ
μόνον τὸ σῶμα φαιδρύνει; Βαπτίσθητε τὴν ψυχὴν ἀπὸ ὀργῆς καὶ D
ἀπὸ πλεονεξίας, ἀπὸ φθόνου, ἀπὸ μίσους· καὶ ἰδοὺ τὸ σῶμα κα-
θαρόν ἐστι. [2] Τοῦτο γάρ ἐστι τὸ σύμβολον τῶν ἀζύμων, ἵνα μὴ
τὰ παλαιὰ τῆς κακῆς ζύμης ἔργα πράττητε. Ὑμεῖς δὲ πάντα σαρ-
κικῶς νενοήκατε καὶ ἡγεῖσθε εὐσέβειαν, ἐὰν τοιαῦτα ποιοῦντες τὰς

13. *καὶ τῶν αὐλέων*] Ita uterque Cod. mstus. Ad marginem adscriptum est *αὐλαίων σου σφίγξον, μή*. Maran. vero *κ. τ. αὐλαίων* et ceteri editores Stephanum secuti *καὶ τὰς δέρεις τῶν αὐλέων σου πῆξον* etc. legunt. Ipse Thirlb. *τ. δέρεις* retinuit, licet sciret in Cod.

dolore animae ejus, ostendere ei lucem, et formare intelligentia, justificare justum bene servientem multis. Et peccata nostra ipse portabit. Propterea ipse possidebit multos et fortium dividet spolia, pro eo quod tradita est ad mortem anima ejus, et in iniquis reputatus est, et ipse peccata multorum tulit et propter iniquitates eorum traditus est. Laetare sterilis quae non paris, erumpe et clama quae non parturis; quoniam multo plures sunt filii desertae, quam ejus quae habet virum! Dixit enim dominus: Dilata locum tabernaculi tui et tentoriorum tuorum, fige, ne parcas, protende funiculos tuos et palos tuos conforta, ad dextra et sinistra distende: et semen tuum possidebit gentes, et civitates desertas inhabitari facies. Noli timere, quia confusa es, neque confundaris, quia exprobratum tibi est; confusionem enim aeternam oblivisceris, et opprobrii viduitatis tuae memor non eris ultra: quia dominus fecit nomen sibi, et qui eruit te, ipse Deus Israelis, omni terrae vocabitur. Tamquam mulierem derelictam et pusillanimem vocavit te dominus, tamquam mulierem ab adolescentia odio habitam.

λὴν] Haec referri debent ad incarnationem, quam Justinus patris voluntate factam dicere solet, ut Apol. I. c. 46. et 63., Apol. II. c. 6., Dial. c. Tr. c. 23., 48., 87. (Ergo ἔδει εἰς τὸν κατὰ τὴν τοῦ πατρὸς βουλὴν διὰ etc.). Similis verborum constructio, vel librariorum vel ipsius Justini properantis incuriâ, animadvertitur in his verbis c. 86. *μετὰ τὸ σταυρωθῆναι τοῦτον ὃν ἔνδοξον πάλιν παραγενήσεσθαι ἀποδεικνύουσιν αἱ γραφαί. Maranus.*

2. φυλῆς] Hoc vix exspectaveris. At non delendum censeo, quum possit ferri.

λάβομεν περιτομήν, ἀλλὰ πνευματικήν, ἣν Ἐνὼχ καὶ οἱ ὅμοιοι ἐφύλαξαν· [3] ἡμεῖς δὲ διὰ τοῦ βαπτίσματος αὐτήν, ἐπειδὴ ἁμαρτωλοὶ ἐγεγόνειμεν, διὰ τὸ ἔλεος τὸ παρὰ τοῦ θεοῦ ἐλάβομεν, καὶ E
πᾶσιν ἐφετὸν ὁμοίως λαμβάνειν. Περὶ δὲ τοῦ τῆς γενέσεως αὐτοῦ μυστηρίου ἤδη λέγειν κατεπείγοντος λέγω. Ἡσαΐας οὖν περὶ τοῦ γένους αὐτοῦ τοῦ Χριστοῦ, ὅτι ἀνεκδιήγητόν ἐστιν ἀνθρώποις, οὕτως ἔφη, ὡς καὶ [4] προγέγραπται· [5] Τὴν γενεὰν αὐτοῦ τίς διηγήσεται; Ὅτι αἴρεται ἀπὸ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· ἀπὸ τῶν ἀνομιῶν τοῦ λαοῦ μου [6] ἤχθη εἰς θάνατον. Ὡς ἀνεκδιηγήτου οὖν ὄντος τοῦ γένους τούτου ἀποθνήσκειν μέλλοντος, ἵνα τῷ μώλωπι αὐτοῦ ἰαθῶμεν οἱ ἁμαρτωλοὶ ἄνθρωποι, τὸ προφητικὸν πνεῦμα 262
ταῦτα εἶπεν. Ἔτι καὶ ἵνα, ὃν τρόπον γέγονεν ἐν κόσμῳ γεννηθείς, ἐπιγνῶναι ἔχωσιν οἱ πιστεύοντες αὐτῷ ἄνθρωποι, διὰ τοῦ αὐτοῦ Ἡσαΐου τὸ προφητικὸν πνεῦμα ὡς μέλλει γίνεσθαι προεφήτευσεν οὕτως· [7] Καὶ προσέθετο κύριος λαλῆσαι τῷ Ἄχαζ, λέγων· [8] Αἴτησον σεαυτῷ σημεῖον παρὰ κυρίου τοῦ θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος. Καὶ εἶπεν Ἄχαζ· Οὐ μὴ αἰτήσω οὐδὲ μὴ πειράσω κύριον. Καὶ εἶπεν Ἡσαΐας· [9] Ἀκούετε δή, ὁ οἶκος Δαβίδ. Μὴ μικρὸν B
ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; Καὶ πῶς κυρίῳ παρέχετε ἀγῶνα; Διὰ τοῦτο δώσει κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν, καὶ [10] καλέσεται τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ. Βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι [11] πονηρὰ καὶ ἐκλέξασθαι τὸ ἀγαθόν· διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακόν, [12] ἀπειθεῖ πονηρὰ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. [13] Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ καὶ σκῦλα [14] Σαμαρείας C
ἔναντι βασιλέως Ἀσσυρίων. [15] Καὶ [16] καταληφθήσεται ἡ γῆ, ἣν

3. ἡμεῖς ... ἐλάβομεν] Coll. ep. ad Coloss. II. 11. sq..

4. προγέγραπται] Cf. c. 13. p. 230. D. E.

5. Τὴν ... θάνατον] Jesai. LIII. 8..

6. ἤχθη] Uterque Cod. mstus ἤχθην. C. 13. p. 230. E. et Apol. I. c. 51. p. 86. C. ἥκει. Firmatur illud c. 89. p. 317. B: ὅτι ἀπὸ τ. ἀνομιῶν τ. λαοῦ ἀχθήσεται εἰς θάνατον.

7. Καὶ ... ἀγαθόν] Jesai. VII. 10.—16..

8. Αἴτησον] Alii fortasse scriberent Αἴτησαι, ut c. 66. p. 290. D. Sed illud etiam in quodam Cod. msto apud Holmes. exstat.

9. Ἀκούετε] Fortasse Ἀκούσατε, ut c. 66..

nis circumcisionem accepimus, sed spiritualem, quam Henochus et similes custodierunt; atque hanc per baptismum, quia peccatores fueramus, misericordia Dei consecuti sumus, et omnibus licet similiter consequi. Sed quum de illius nativitatis mysterio disputatio jam urgeat, id mihi agendum est. Jesaias igitur de ipsius Christi genere, non enarrabile id hominibus esse, sic asseruit, ut jam scripsimus: *Generationem ejus quis enarrabit? Quia tollitur de terra vita ejus; ab iniquitatibus populi mei ductus est in mortem.* Qui ergo moriturus erat, ut ejus vibice homines peccatores sanaremur, ejus genus non enarrabile esse propheticus Spiritus illis verbis dixit. Praeterea ut, quonam modo genitus in mundum venerit, credentes ei homines cognoscere possent, per eumdem Jesaiam Spiritus propheticus rem, ut erat eventura, praedixit his verbis: *Et adjecit dominus loqui ad Achasum, dicens: Pete tibi signum a domino Deo tuo in profundum vel in excelsum. Et dixit Achasus: Non petam neque tentabo dominum. Et dixit Jesaias: Audite nunc, domus Davidis! Num parum vobis est certamen praebere hominibus? Et quomodo domino praebetis certamen? Propterea dabit dominus ipse vobis signum. Ecce virgo in utero concipiet et pariet filium, et vocabitur nomen ejus Emmanuel. Butyrum et mel comedet, antequam sciat aut praeeligat mala et eligat bonum: quoniam antequam sciat puerulus bonum aut malum, reprobat mala eligendo bonum. Antequam sciat puerulus vocare patrem aut matrem, tollet virtutem Damasci et spolia Samariae coram rege Assyriorum. Et capietur terra, quam tu du-*

10. *καλέσεται*] Conjicit Thirlb. *καλέσετε.*

11. *πονηρὰ καὶ ἐκλέξασθαι*] Cod. Clarom. *πονηρὰ ἐκλέξεται.* Et sic c. 66..

12. *ἀπειθεῖ πον.*] Quoniam haec phrasis insolens, Wolfius reposuerat *ἀπωθεῖ πον.*: *repellit mala.*

13. *Διότι ... βασ. Ἀσσυρ.*] Jesai. VIII. 4..

14. *Σαμαρείας*] Stephan. *Σαμαρίας.*

15. *Καὶ ... Ἀσσυρίων*] Jesai. VII. 16. sq..

16. *καταληφθήσεται*] Ita etiam infra p. 290. vitiose pro *καταλειφθήσεται*; red librariorumne errore an ipsius Justini, difficile est dictu. *Thirlbius.*

σὺ σκληρῶς οἴσεις ἀπὸ προσώπου τῶν δύο βασιλέων. Ἀλλ' ἐπάξει ὁ θεὸς ἐπί σε καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός σου ἡμέρας, αἳ οὐδέπω ἥκασιν ἐπί σε ἀπὸ τῆς ἡμέρας, ἧς ἀφεῖλεν Ἐφραῒμ ἀπὸ Ἰούδα τὸν βασιλέα τῶν Ἀσσυρίων. Ὅτι μὲν οὖν ἐν τῷ γένει τῷ κατὰ σάρκα τοῦ Ἀβραὰμ οὐδεὶς οὐδέποτε ἀπὸ παρθένου [17] γεγέννηται οὐδὲ λέλεκται γεγεννημένος, ἀλλ' ἢ οὗτος ὁ ἡμέ- D
τερος Χριστός, πᾶσι φανερόν ἐστιν. [18] Ἐπεὶ δὲ ὑμεῖς καὶ οἱ διδάσκαλοι ὑμῶν τολμᾶτε λέγειν μηδὲ εἰρῆσθαι ἐν τῇ προφητείᾳ τοῦ Ἡσαΐου· Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, ἀλλ'· Ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ λήψεται καὶ τέξεται υἱόν, καὶ ἐξηγεῖσθε τὴν προφητείαν ὡς εἰς Ἐζεκίαν, τὸν γενόμενον ὑμῶν βασιλέα, πειράσομαι καὶ ἐν τούτῳ καθ' ὑμῶν βραχέα ἐξηγήσασθαι καὶ ἀποδεῖξαι εἰς τοῦτον εἰρῆ- E
σθαι τὸν ὁμολογούμενον ὑφ' ἡμῶν Χριστόν.

44. Οὕτω γὰρ κατὰ πάντα ἀθῷος ὑμῶν χάριν εὑρεθήσομαι, εἰ ἀποδείξεις ποιούμενος ἀγωνίζομαι ὑμᾶς πεισθῆναι· ἐὰν δὲ ὑμεῖς, σκληροκάρδιοι μένοντες ἢ ἀσθενεῖς τὴν γνώμην διὰ τὸν ἀφωρισμένον τοῖς Χριστιανοῖς θάνατον, τῷ ἀληθεῖ συντίθεσθαι μὴ βούλησθε, ἑαυτοῖς αἴτιοι φανήσεσθε. [1] Καὶ ἐξαπατᾶτε ἑαυτούς, ὑπονοοῦντες διὰ τὸ εἶναι τοῦ Ἀβραὰμ κατὰ σάρκα σπέρμα πάντως κληρονομήσειν τὰ κατηγγελμένα παρὰ τοῦ θεοῦ διὰ τοῦ Χριστοῦ δοθήσεσθαι ἀγαθά. Οὐδεὶς γὰρ [2] οὐδὲν ἐκείνων οὐδαμόθεν λα- 263
βεῖν ἔχει πλὴν οἱ τῇ γνώμῃ ἐξομοιωθέντες τῇ πίστει τοῦ Ἀβραὰμ καὶ [3] ἐπιγνόντες τὰ μυστήρια πάντα, λέγω δὲ ὅτι τὶς μὲν ἐντολὴ

17. γεγέννηται ... γεγεννημένος] Vulgo γεγένηται et γεγενημένος. Illud vero praetuli, praesertim quum in loco gemino c. 66. p. 291. A, ubi respicit Martyr quae hîc dixit, ita sit scriptum. Confunduntur interdum ista verba; cf. c. 2. not. 5. et c. 25. not. 8.

18. Ἐπεὶ δὲ ὑμεῖς etc.] Irenaeus adv. haeres. III. c. 21. §. 1. p. 215. ed. Massuet.: Ἀλλ' οὐχ ὡς ἔνιοί φασι τῶν νῦν μεθερμηνεύειν τολμώντων τὴν γραφήν· Ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ ἕξει καὶ τέξεται υἱόν, ὡς Θεοδοτίων ἡρμήνευσεν ὁ Ἐφέσιος καὶ Ἀκύλας ὁ Ποντικός, ἀμφότεροι Ἰουδαῖοι προσήλυτοι.

1. Καὶ ἐξαπατᾶτε ἑαυτούς] Non difficile est hujus loci juncturam cum praecedenti animadvertere. Postquam dixit Justinus magnam culpam commerituros Judaeos, si veritati assentiri nolint, refellit inanem eorum fiduciam, quae ad spernendas Justini minas incitare poterat. Idem ergo est ac si dixisset: Nec justa est vestra fiducia, sed

riter feres a facie duorum regum. Sed adducet Deus super te et super populum tuum et super domum patris tui dies, qui nondum venerunt super te a die, quo abstulit Ephraim a Juda regem Assyriorum. Neminem sane in Abrahami secundum carnem genere umquam exstitisse praeter hunc Christum nostrum, qui ex virgine natus esset aut natus diceretur, omnibus manifestum est. Sed quia vos ac magistri vestri asserere audetis neutiquam dictum esse in prophetia Jesaiae: *Ecce virgo in utero habebit*, sed: *Ecce adolescentula in utero concipiet et pariet filium*, et quia prophetiam ita exponitis, quasi in Ezechiam, qui rex vester fuit, dicta esset: conabor de hoc quoque contra vos pauca disserere et in hunc dictam demonstrare, quem Christum esse confitemur.

44. Sic enim omnino, quantum ad vos attinet, innocens reperiar, si demonstrationibus adhibendis in id incumbam, ut vobis persuadeam; sin autem vos, in cordis duritia manentes aut animo infirmi ob sancitam in Christianos mortem, veritati nolueritis assentiri, manifestum erit vos mali auctores esse vobismetipsis. Ac vos quidem ipsi decipitis, qui eo, quod semen Abrahami sitis secundum carnem, omnino bonorum, de quibus nuntiatum est fore ut a Deo per Christum dentur, haereditatem accepturos putetis. Nemo enim quidquam ex his accipere ulla ratione potest praeter eos qui animo assimilati fuerint Abrahami fidei et mysteria omnia agnoverint, id est, alia quaedam praece-

vos ipsi decipitis etc.. Quare inutiles Thirlbii conjecturae *καὶ ἐξαπατήσετε, καὶ γὰρ ἐξαπατᾶτε, καὶ μὴ ἐξαπατᾶτε.* Fatetur ipse sibi eas non placere. *Maranus.*

2. *οὐδὲν ἐκείνων*] Sc. *ἀγαθῶν*: *Nemo quidquam ex his bonis percipere potest.* Codd. msti et editi *οὐδὲ ἐκ.*. Langus: *Nemo enim etiam* [*patrum*] *illorum ulla ex parte accipere ea potest.* Maranus: *ne ex illo quidem*, sc. Abrahami, *semine*, ita ut etiam paganis necessaria fuerit illius fidei imitatio. Sed *οὐδὲν ἐκ.* reponendum esse rectissime Thirlbius animadvertit; hoc nempe, ut in aprico est, et nexus sententiarum fulcit et sermonis consuetudo. Cf. c. 25. p. 243. B: *Τί οὖν ἐστὶν ὃ λέγεις, ὅτι οὐδεὶς ἡμῶν κληρονομήσει ... οὐδέν*; C. 26. p. 243. B. C: *μὴ μετανοοῦντες οὐ κληρονομήσουσι ... οὐδέν.*

3. *ἐπιγνόντες τὰ μυστήρια πάντα* etc.] Addit Justinus, quaenam illa sit omnium mysteriorum co-

εἰς θεοσέβειαν καὶ δικαιοπραξίαν διετέτακτο, τὶς δὲ ἐντολὴ καὶ πρᾶξις ὁμοίως εἴρητο ἢ εἰς μυστήριον τοῦ Χριστοῦ [4] ἢ διὰ τὸ σκληροκάρδιον τοῦ λαοῦ ὑμῶν. Καὶ ὅτι τοῦτό ἐστιν, ἐν τῷ Ἰεζεκιὴλ περὶ τούτου ἀποφαινόμενος ὁ θεὸς εἶπεν· [5] Ἐὰν Νῶε καὶ [6] Ἰακὼβ καὶ Δανιὴλ ἐξαιτήσωνται ἢ υἱοὺς ἢ θυγατέρας, οὐ μὴ δοθήσεται αὐτοῖς. Καὶ ἐν τῷ Ἡσαΐᾳ εἰς τοῦτο αὐτὸ [7] ἔφη B
οὕτως· [8] Εἶπε κύριος ὁ θεός· Καὶ ἐξελεύσονται καὶ ὄψονται τὰ κῶλα τῶν παραβεβηκότων ἀνθρώπων· ὁ γὰρ σκώληξ αὐτῶν οὐ τελευτήσει, καὶ τὸ πῦρ αὐτῶν οὐ σβεσθήσεται, καὶ ἔσονται εἰς ὅρασιν πάσῃ σαρκί. [9] Ὡς τεμόντας ὑμᾶς ἀπὸ τῶν ψυχῶν ὑμῶν τὴν ἐλπίδα ταύτην σπουδάσαι δεῖ ἐπιγνῶναι, δι' ἧς ὁδοῦ ἄφεσις ὑμῖν τῶν ἁμαρτιῶν γενήσεται καὶ ἐλπὶς τῆς κληρονομίας τῶν κατηγγελμένων ἀγαθῶν· ἔστι δ' οὐκ ἄλλη ἢ αὕτη, ἵνα τοῦτον τὸν C
Χριστὸν ἐπιγνόντες καὶ λουσάμενοι τὸ ὑπὲρ ἀφέσεως ἁμαρτιῶν διὰ [10] Ἡσαΐου κηρυχθὲν λουτρὸν ἀναμαρτήτως λοιπὸν ζήσητε.

45. Καὶ ὁ Τρύφων· Εἰ καὶ ἐγκόπτειν δοκῶ τοῖς λόγοις τούτοις οἷς λέγεις ἀναγκαίοις οὖσιν ἐξετασθῆναι, ἀλλ' οὖν κατεπείγοντος τοῦ ἐπερωτήματος, ὃ ἐξετάσαι βούλομαι, ἀνάσχου μου πρῶτον.

Κἀγώ· Ὅσα βούλει ἐξέταζε, ὥς σοι ἐπέρχεται· ἐγὼ γὰρ καὶ μετὰ τὰς ἐξετάσεις καὶ ἀποκρίσεις τοὺς λόγους ἀναλαμβάνειν πει- D
ράσομαι καὶ πληροῦν.

Κἀκεῖνος· Εἰπὲ οὖν μοι, ἔφη· Οἱ ζήσαντες κατὰ τὸν νό-

gnitio ad salutem necessaria. Quum autem necesse sit Judaeis, Abrahami fidem ut imitentur, illud etiam necesse est, ut fiduciam non in legis ritibus ponant, sed haec instituta distinguant a lege Dei aeterna. Mallet Thirlbius *μυστ. ταῦτα.*

4. ἢ] Deest haec vocula in Codd. mstis et editis. Reponendam eam esse jam Langus vidit.

5. Ἐὰν ... αὐτοῖς] Ezech. XIV. 20.

6. Ἰακὼβ] Ita Codd. msti hic pariter atque paulo post (c. 45. p. 263. D. et p. 264. A) et infra c. 140. p. 369. D. At Sylburgius, Langum secutus, ex illiusque auctoritate Morellus textui inseruerunt Ἰώβ, quod in vulg. Bibliis habetur. Marano recte monente J a c o b i nomen nostro loco aptissimum erat ad refellendam Jacobi posterorum arrogantiam.

7. ἔφη οὕτως· Εἶπε] Codd.

pta ad Dei cultum et justitiae observationem esse data, alia autem praecepta et opera vel ad Christi mysterium vel ob duritiam cordis populi vestri similiter esse descripta. Atque ita sese rem habere Deus in Ezechiele de ea pronuntians dixit: *Si Noachus et Jacobus et Daniel depoposcerint vel filios vel filias, non dabitur eis.* Et apud Jesaiam in hanc ipsam sententiam ita loquitur: *Dixit dominus Deus: Et egredientur et videbunt membra praevaricatorum hominum; vermis enim eorum non morietur, et ignis eorum non exstinguetur, et erunt in spectaculum omni carni.* Quapropter hanc spem ex animis vestris recidentes elaborare oportet, ut cognoscatis, quanam via remissio peccatorum vobis contingat et spes haereditatis promissorum bonorum; est autem non alia nisi haec, ut hunc Christum agnoscentes et illo ad peccatorum remissionem baptismo, quem Jesaias praedicavit, abluti sine peccato deinceps vivatis.

45. Tum Trypho: Etsi ea videor interpellare, quae ad pertractandum necessaria edisseris, urgente tamen ea quaestione, quam ponere volo, fac primum ut me perferas.

Ego autem: Quidquid placuerit interroga, ut tibi in mentem veniet; nam etiam post interrogata et responsa orationem resumere conabor et absolvere.

At ille: Dic mihi igitur, inquit: Qui secundum praescripta legis per Mosen institutae vixerunt, utrum ii similiter ac

msti, Stephan. et Jebb. ἔφη· Οὕτως εἶπε, licet verum ille jam viderit. Cf. Cohort. ad Gr. c. 29. not. 6..

8. *Εἶπε... σαρκί*] Jesai. LXVI. 23. sq..

9. Ὡς] H. e. *(ita) ut*, vern. so *dafs*, *daher.* Similiter ὥς cum indicativo modo supra c. 35. p. 254. A. (not. 23.). Cf. ep. ad. Hebr. III. 11. et IV. 3.; adde Herod. Hist. I. c. 163. et II. c. 135. atque alios classicos scriptores. Marano legendum videtur Ὥστε.

10. *Ἠσαΐου*] Cf. Jesai. I. 16.. Vid. c. 13. p 229. D, c. 14. p. 231. C, c. 18. p. 235. E. Alii quoque ablutionem istam de Christianorum baptismate sunt interpretati, ut Cyprian. adv. Jud. I. c. 24..

μον τὸν διαταχθέντα διὰ Μωσέως ζήσονται ὁμοίως τῷ [1]Ἰακὼβ καὶ τῷ Ἐνὼχ καὶ τῷ Νῶε ἐν τῇ τῶν νεκρῶν ἀναστάσει ἢ οὔ;

Κἀγὼ πρὸς αὐτόν· Εἰπόντος μου, ὦ ἄνθρωπε, τὰ λελεγμένα ὑπὸ τοῦ Ἰεζεκιήλ, ὅτι κἂν Νῶε καὶ Δανιὴλ καὶ [2]Ἰακὼβ ἐξαιτήσωνται υἱοὺς [3]καὶ θυγατέρας, οὐ δοθήσεται αὐτοῖς, ἀλλ' ἕκα- E
στος τῇ αὐτοῦ [4]δικαιοσύνῃ δηλονότι σωθήσεται, ὅτι καὶ τοὺς κατὰ τὸν νόμον τὸν Μωσέως πολιτευσαμένους ὁμοίως σωθήσεσθαι εἶπον. [5]Καὶ γὰρ ἐν τῷ Μωσέως νόμῳ τὰ φύσει καλὰ καὶ εὐσεβῆ καὶ δίκαια νενομοθέτηται πράττειν [6]τοὺς πειθομένους αὐτοῖς, καὶ πρὸς σκληροκαρδίαν δὲ τοῦ λαοῦ διαταχθέντα [7]γίνεσθαι ὁμοίως ἀναγέγραπται, ἃ καὶ ἔπραττον οἱ ὑπὸ τὸν νόμον. [8]Ἐπεὶ οἳ τὰ καθόλου καὶ φύσει καὶ αἰώνια καλὰ ἐποίουν, εὐάρεστοί
εἰσι τῷ θεῷ καὶ διὰ τοῦ Χριστοῦ τούτου ἐν τῇ ἀναστάσει ὁμοίως 264
τοῖς [9]προγενομένοις αὐτῶν δικαίοις, Νῶε καὶ Ἐνὼχ καὶ [10]Ἰακὼβ καὶ εἴ τινες ἄλλοι γεγόνασι, σωθήσονται [11]σὺν τοῖς ἐπιγνοῦσι τὸν Χριστὸν τοῦτον τοῦ θεοῦ υἱόν, ὃς καὶ [12]πρὸ ἑωσφόρου καὶ σελήνης ἦν, καὶ διὰ τῆς παρθένου ταύτης τῆς ἀπὸ τοῦ γένους τοῦ Δαβὶδ γεννηθῆναι σαρκοποιηθεὶς ὑπέμεινεν, [13]ἵνα διὰ τῆς οἰκονομίας ταύτης ὁ πονηρευσάμενος τὴν ἀρχὴν ὄφις καὶ οἱ ἐξομοιωθέντες
αὐτῷ ἄγγελοι καταλυθῶσι, καὶ [14]ὁ θάνατος καταφρονηθῇ καὶ ἐν B
τῇ δευτέρᾳ αὐτοῦ τοῦ Χριστοῦ παρουσίᾳ ἀπὸ τῶν πιστευόντων αὐτῷ καὶ εὐαρέστως ζώντων παύσηται τέλεον, ὕστερον μηκέτ' ὤν, ὅταν οἱ μὲν εἰς κρίσιν καὶ καταδίκην τοῦ πυρὸς ἀπαύστως κολά-

1. Ἰακὼβ] Hîc quoque (vid. c. 44. not. 6.) Sylburg. et Morell. Ἰὼβ reposuerunt. At vero Ezechiel neque citatur hîc neque respicitur. Henocho quoque, ut Thirlbius praeterea observat, quid fiet, si propter Ezech. XIV. Jacobo nullus hîc locus sit?

2. Ἰακὼβ] Sylburg. et Morell Ἰώβ. Vid. anteced. notam.

3. καὶ θυγ.] Thirlb. conjicit ἢ θυγ., ut c. 44. p. 263. A. et c. 140. p. 369. D. Vix mutandum.

4. δικαιοσ. δηλονότι σωθ., ὅτι] Mallet Thirlb. δικαιοσ. σωθ., δῆλον ὅτι — vel δικαιοσ. δηλονότι σωθήσεται, δῆλον ὅτι.

5. Καὶ γὰρ ἐν τῷ Μωσ. etc.] Vid. Constitt. apost. I. c. 6. et VI. c. 20.

6. τοὺς πειθομένους αὐτοῖς] Relativum αὐτοῖς respicit nomen extrinsecus intellectum, nempe τοῖς τοῦ νόμου προστάγμασιν; alioqui enim singulariter legendum esset αὐτῷ, scil. τῷ νόμῳ. *Sylburgius.*

7. γίνεσθαι] Thirlb. τινὰ conjicit.

Jacobus, Henochus et Noachus in resurrectione mortuorum vivent nec ne?

Et ego ad illum: Quum ea protuli, o homo, quae ab Ezechiele dicta sunt: *Etiamsi Noachus, Daniel et Jacobus filios et filias depoposcerint, non eis concessum iri*, sed pro se quemque sua ipsius videlicet justitia salvum fore, eos quoque, qui secundum legem Mosis vixerunt, salvos similiter futuros dixi. Etenim quae natura praeclara et pia et justa sunt, ea in Mosis lege his, qui legi parent, facienda praescribuntur, et quae ad duritiam cordis populi jussa sunt observari, ea similiter praescripta sunt et ab his, qui sub lege erant, observata. Siquidem qui ea faciebant quae universe et natura et perpetuo praeclara sunt, ii Deo grati sunt et per hunc Christum in resurrectione similiter atque ii qui ante eos justi fuere, Noachus et Henochus et Jacobus et si qui alii, salutem consequentur una cum iis qui hunc Christum Dei filium agnoscunt, qui et ante luciferum et lunam erat, et per illam Davidici generis virginem caro factus nasci sustinuit, ut per hanc dispensationem ille, qui ab initio improbe egit, serpens et assimilati ei angeli profligentur, ac mors contemnatur et in secundo ipsius Christi adventu ab his, qui in eum credunt et ita vivunt ut ei placeant, penitus facessat, nec jam ulla sit, quum alii quidem in judicium et condemnationem ignis perpetuo pu-

8. *Ἐπεὶ οἱ τὰ καθόλου* etc.] Vid. Apol. I. c. 46. p. 83. C. D.

9. *προγενομένοις*] Fortasse *προγεγενημένοις*. Vid. Apol. II. c. 10. not. 2.. Non mutamus. Cf. Apol. I. l. c. D: *Ὥστε καὶ οἱ προγενόμενοι* etc..

10. *Ἰακώβ*] Et hic quoque (vid. not. 2.) reponunt Sylburg. et Morell. *Ἰώβ*. Lege quae not. 1. contra diximus.

11. *σὺν τοῖς ἐπιγνοῦσι τὸν Χριστὸν τοῦτον*] Illud *ἐπιγνοῦσι* de iis intelligendum qui post Christi adventum fuere. Neque enim duos ordines salvandorum instituit Justinus, quorum alii Christum cognoverint sive in eum crediderint, alii non: nec quidquam magis alienum a S. Martyris doctrina, quam Christum veteribus patriarchis cognitum negare. *Maranus.*

12. *πρὸ ἑωσφόρου κ. σελήνης*] Cf. Psalm. CX. 3. et LXXII. 5..

13. *ἵνα ... καταλυθῶσι*] Coll. 1. Joann. III. 8..

14. *ὁ θάνατος ... συνῶσιν*] Coll. Apocal. XXI. 4..

ζεσθαι πεμφθῶσιν, οἱ δὲ [15] *ἐν ἀπαθείᾳ καὶ ἀφθαρσίᾳ καὶ ἀλυπίᾳ καὶ ἀθανασίᾳ συνῶσιν.*

46. *Ἐὰν δέ τινες καὶ νῦν ζῆν βούλωνται φυλάσσοντες τὰ* C
διὰ Μωσέως διαταχθέντα καὶ πιστεύσωσιν ἐπὶ τοῦτον τὸν σταυρωθέντα Ἰησοῦν, ἐπιγνόντες ὅτι αὐτός ἐστιν ὁ Χριστὸς τοῦ θεοῦ καὶ αὐτῷ δέδοται τὸ κρῖναι πάντας ἁπλῶς [1] *καὶ αὐτοῦ ἐστιν ἡ αἰώνιος βασιλεία, δύνανται καὶ αὐτοὶ σωθῆναι; ἐπυνθάνετό μου.*

Κἀγὼ πάλιν· Συσκεψώμεθα κἀκεῖνο, εἰ ἔνεστιν, ἔλεγον, φυλάσσειν τὰ διὰ Μωσέως διαταχθέντα ἅπαντα νῦν.

Κἀκεῖνος ἀπεκρίνατο· Οὔ· γνωρίζομεν γὰρ [2] *ὅτι, ὡς ἔφης,*
οὔτε [3] *πρόβατον τοῦ πάσχα ἀλλαχόσε θύειν δυνατὸν οὔτε τοὺς* D
τῇ νηστείᾳ κελευσθέντας προσφέρεσθαι χιμάρους οὔτε τὰς ἄλλας ἁπλῶς ἁπάσας προσφοράς.

Κἀγώ· Τίνα [4] *οὖν ἃ δυνατόν ἐστι φυλάσσειν, παρακαλῶ, λέγε αὐτός·* [5] *πεισθήσῃ γὰρ ὅτι μὴ φυλάσσων τὰ αἰώνια δικαιώματά τις ἢ πράξας σωθῆναι ἐκ παντὸς ἔχει.*

Κἀκεῖνος· Τὸ σαββατίζειν λέγω καὶ τὸ περιτέμνεσθαι καὶ τὸ
τὰ ἔμμηνα φυλάσσειν καὶ τὸ βαπτίζεσθαι ἁψάμενόν τινος ὧν ἀπη- E
γόρευται ὑπὸ Μωσέως ἢ [6] *ἐν συνουσίᾳ γενόμενον.*

15. *ἐν ἀπαθείᾳ . . . συνῶσιν*] H. Stephan. (in edit. epist. ad. Diogn. p. 56. et 67.) praepositionem *ἐν* ejiciendam putat, ea nempe ratione, qua dicunt *πενίᾳ συζῆν*. Attamen potest retineri, si cum Lango et Sylburgio *συνῶσιν* absolute capiamus pro *ἅμα ὦσιν* vel *ἑαυτοῖς συνῶσιν*: *conjuncti vivant*. Quid? Etiam suppleri potest *τῷ θεῷ*: *cum Deo erunt*. Cf. Apol. I. c. 10. p. 58. C: *οἳ ἐὰν ἀξίους . . . ἑαυτοὺς . . . δείξωσι, τῆς μετ' αὐτοῦ* (sc. *θεοῦ*) *ἀναστροφῆς καταξιωθῆναι προσειλήφαμεν συμβασιλεύοντας, ἀφθάρτους καὶ ἀπαθεῖς γενομένους*. Apol. II. c. 1. p. 41. C: *ἐν ἀπαθείᾳ συγγενέσθαι τῷ θεῷ*.

1. *καὶ αὐτοῦ ἐστ. ἡ αἰών. βασιλεία*] Opinatur Bullus (Judic. eccles. cath. etc. c. 6. §. 16.) Justinum respexisse symboli Hierosolymitani clausulam illam: *Cujus regni non erit finis.*

2. *ὅτι*] In Codd. mstis et editis perverse *ἔτι*.

3. *πρόβατον τοῦ πάσχα* etc.] Pulsi Jerosolymis Judaei jacturam sacrificii variis modis sarcire tentabant. *Per diversa*, inquit Hilarius in psalm. 58. n. 12., *speciem sacerdotii illius legitimi et holocausti et circumcisionis imitantur.* S. Phileas Martyr instante Culciano praefecto, ut saltem Deo sacrificaret, ita respondit: *Solis Judaeis praeceptum fuerat sacrificare Deo soli in Jerosolyma. Nunc autem peccant Judaei in aliis locis solemnia*

niendi mittentur, alii vero in statu perpessionis et corruptionis et doloris experte et immortalitate simul vivent.

46. Si qui autem etiamnunc vivere velint observantes Mosis instituta et credant in hunc Jesum crucifixum, agnoscentes eum esse Christum Dei eique datum esse omnes omnino judicare ejusque regnum esse aeternum, an ii quoque salvi esse possunt? Ita me ille interrogabat.

At ego rursus: Id quoque, inquiebam, una consideremus, an nunc liceat omnia servare, quae per Mosen praescripta sunt.

Respondit ille: Nequaquam; agnoscimus enim, quemadmodum dixisti, nec agnum paschae alibi immolari posse nec hircos in jejunio jussos offerri nec ceteras omnes omnino oblationes.

Tum ego: Quaenam ergo illa sint, quae possint observari, ipse, quaeso, edissere; tibi enim persuasum erit posse aliquem non observatis nec perfectis aeternis justitiae praeceptis salutem omnino consequi.

At ille: Sabbata peragere et circumcidi et menses observare et ablui, si quid a Mose prohibitum attigeris vel in concubitu fueris.

sua celebrantes. De iisdem S. Augustinus Retractt. II. c. 10. sic loquitur: *Eos et nunc videmus sine sacrificiis remansisse, nisi forte, quod per Pascha immolent ovem, hoc in sacrificio deputetur.* Vide Julianum apud Cyrill. Alex. IX. p. 305. (ed. Aubert.). *Maranus.*

4. *οὖν ἃ δυνατόν*] Cod. Reg. et editi *ἀδύνατον*, pro quo Jebb. vult *οὐκ ἀδύνατον* vel *οὖν δυνατόν*, quod et Thirlb. amplectitur. Sic jam Langus: *Quae igitur servari queant.* Lectionem, quam praeeunte Marano recepi, Cod. Clarom. praebet.

5. *πεισθήσῃ γὰρ* etc.] Thirlb. ante *ἔχει* negationem *οὐκ* poni vult et *πεισθήσῃ* active sumi: *facile enim vobis persuadebitis* etc.. Hoc male factum. Etenim Justinus cum quadam ironia ex Judaeorum sententia loquitur, qui cerimonias quoque pro sempiternis sanctionibus habent. Sic jam Sylburgius et Maranus, quorum hic ita interpretatur: „Videbis salutem aeternam non observatis illis mandatis, quae tu aeterna esse ac numquam praetermittenda existimas, comparari posse, quippe cum nec circumcisionem, ut paulo post probat Justinus, ii qui ante Abraham fuerunt, nec caetera instituta ipse Abraham ejusque usque ad Mosem posteri observaverint.“

6. *ἐν συνουσίᾳ*] Codd. msti ad marginem *ἐν οὐσίᾳ*.

Κἀγὼ ἔφην· Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ Νῶε καὶ
Ἰὼβ καὶ εἴ τινες ἄλλοι γεγόνασι πρὸ τούτων ἢ μετὰ τούτους ὁμοίως
δίκαιοι, λέγω δὲ καὶ Σάῤῥαν, τὴν γυναῖκα τοῦ Ἀβραάμ, καὶ Ῥε-
βέκκαν, τὴν τοῦ Ἰσαάκ, καὶ Ῥαχήλ, τὴν τοῦ Ἰακώβ, καὶ Λείαν
καὶ τὰς λοιπὰς ἄλλας τὰς τοιαύτας μέχρι τῆς Μωσέως, [7] τοῦ πι-
στοῦ θεράποντος, μητρός, μηδὲν τούτων [8] φυλάξαντας, εἰ δοκοῦ-
σιν ὑμῖν σωθήσεσθαι;

Καὶ ὁ Τρύφων ἀπεκρίνατο· Οὐ περιετέτμητο Ἀβραὰμ καὶ οἱ
μετ' αὐτόν;

Κἀγώ· Ἐπίσταμαι, ἔφην, ὅτι περιετέτμητο Ἀβραὰμ καὶ οἱ 265
μετ' αὐτόν· διὰ τί δὲ ἐδόθη αὐτοῖς ἡ περιτομή, ἐν πολλοῖς τοῖς
[9] προλελεγμένοις εἶπον, καὶ εἰ μὴ δυσωπεῖ ὑμᾶς τὰ λεγόμενα, πά-
λιν [10] ἐξετάσωμεν τὸν λόγον. Ὅτι δὲ μέχρι Μωσέως οὐδεὶς ἁπλῶς
δίκαιος οὐδὲν ὅλως τούτων περὶ ὧν [11] ἐζητοῦμεν ἐφύλαξεν οὐδὲ
ἐντολὴν ἔλαβε φυλάσσειν, πλὴν τὴν ἀρχὴν λαβούσης ἀπὸ Ἀβραὰμ
τῆς περιτομῆς, ἐπίστασθε.

Κἀκεῖνος· Ἐπιστάμεθα, ἔφη, καὶ ὅτι σώζονται ὁμολογοῦμεν. B

Κἀγὼ πάλιν· [12] Διὰ τὸ σκληροκάρδιον τοῦ λαοῦ ὑμῶν πάν-
τα τὰ τοιαῦτα ἐντάλματα νοεῖτε τὸν θεὸν διὰ Μωσέως ἐντει-
λάμενον ὑμῖν, ἵνα διὰ πολλῶν τούτων ἐν πάσῃ πράξει πρὸ ὀ-
φθαλμῶν ἀεὶ ἔχητε τὸν θεὸν καὶ μήτε ἀδικεῖν μήτε ἀσεβεῖν ἄρχη-
σθε. Καὶ γὰρ τὸ [13] κόκκινον βάμμα περιτιθέναι αὐτοῖς ἐνετεί-
λατο ὑμῖν, ἵνα διὰ τούτου μὴ λήθη ὑμᾶς λαμβάνῃ τοῦ θεοῦ,
καὶ [14] φυλακτήριον ἐν ὑμέσι λεπτοτάτοις γεγραμμένων χαρακτή- C
ρων τινῶν, ἃ πάντως ἅγια νοοῦμεν εἶναι, περικεῖσθαι ὑμᾶς ἐκέ-
λευσε, καὶ διὰ τούτων δυσωπῶν ὑμᾶς ἀεὶ μνήμην ἔχειν τοῦ
θεοῦ, [15] ἅμα τε καὶ ἔλεγχον ἐν ταῖς καρδίαις ὑμῶν. Οὐδὲ μι-

7. τοῦ πιστοῦ θεράπ.] Cf. Numer. XII. 7..

8. φυλάξαντας] Thirlb. φυλάξαντες legi jubet.

9. προλελ. εἶπον] Cf. c. 16. p. 234. A. et c. 28. p. 245. E. 246. A.

10. ἐξετάσωμεν] Fortasse ἐξετάσομεν, quod jam Maran. conjecit. Sed nihil tamen mutandum videtur.

11. ἐζητοῦμεν] Thirlb. conjicit ζητοῦμεν sine causa.

12. Διὰ] Vult Thirlb. Καὶ διά.

13. κόκκινον βάμμα] Cf. Numer. XV. 38.—40..

14. φυλακτήριον] Cf. Deuteron. VI. 6.—8..

15. ἅμα τε κ. ἔλεγχον ἐ. τ. κ. ὑμῶν. Οὐδὲ] Sic Codd. msti, nisi quod comma praebent post ὑμῶν,

Tum ego ajebam: Abrahamus et Isaacus et Jacobus et Noachus et Jobus et si qui alii ante vel post eos justi similiter fuere, Saram dico, uxorem Abrahami, et Rebeccam Isaaci et Rachelem atque Liam Jacobi et reliquas alias ejusmodi usque ad Mosis, fidelis famuli, matrem, quum nihil horum custodiverint, num vobis salutem videntur adepturi?

Respondit Trypho: Non circumcisus est Abrahamus et qui post eum fuere?

Ego vero: Scio, inquam, Abrahamum ejusque posteros circumcisos fuisse; cur autem data illis circumcisio fuerit, pluribus supra dixi, et si vos quae dicta sunt non inflectunt, rem denuo examinemus. Ex justis autem hominibus neminem prorsus usque ad Mosen quidquam eorum de quibus modo quaerebamus, praeter eam quae ab Abrahamo initium habuit circumcisionem, observasse aut observandi praeceptum accepisse scitis.

Et ille: Scimus, inquit, et eos salvari confitemur.

Ego rursus: Considerate omnia ejusmodi praecepta propter duritiam cordis populi vestri per Mosen vobis a Deo tradita esse, ut admoniti pluribus hisce rebus in omni actione Deum semper ante oculos haberetis ac neque injuste neque impie agere inciperetis. Etenim coccineum panniculum ut vobis circumponeretis praecepit, cujus ope nulla vos Dei caperet oblivio, et phylacterium descriptis quibusdam literis in membranis tenuissimis, quae quidem omnino sancta esse intelligimus, jussit circumdari, his etiam rebus exstimulans vos, ut semper memoriam haberetis Dei et simul reprehensionem in cordibus vestris. Non tamen exiguam Dei colendi memo-

quod tamen nostrae interpunctioni favet. Nam locum ita interpretandum censeo, ut ἔλεγχον (v. Brunn: *Warnungszeichen)* a verbo ἔχειν pendeat et *Οὐδὲ* idem valeat quod *Οὐ δέ*. Qua quidem ratione scripsissem, si omnino necesse esset. Alii fortasse vertent *ne — quidem*. Langus: *ne exiguam quidem tamen Dei colendi recordationem retinuistis.* Jebb. minus recte: *Non exiguam igitur Dei colendi monitionem habetis.* Sed Thirlbius et Maranus prorsus nullam inter ὑμῶν et οὐδὲ distinguendi notam ponunt, ita quidem, ut ille conjiciat legendum ἅμα τὲ κ. ἐλέγχων ἐ. τ. κ. ὑμῶν ὅτι μικρὰν μνήμην ἔχ. etc., hic ἅμα τε κ. ἐλέγχων ὅτι ἐν τ. καρδίαις: *et simul exprobrans, quod*

κρὰν μνήμην [16] ἔχετε τοῦ θεοσεβεῖν καὶ οὐδ' οὕτως ἐπείσθητε μὴ
εἰδωλολατρεῖν, ἀλλ' ἐπὶ Ἠλίου ὀνομάζων τὸν ἀριθμὸν τῶν μὴ
καμψάντων γόνυ τῇ Βάαλ ἑπτακισχιλίους τὸν [17] ἀριθμὸν ὄντας D
[18] εἶπε, καὶ ἐν τῷ Ἠσαΐᾳ καὶ τὰ τέκνα ὑμῶν θυσίαν πεποιηκέναι
τοῖς εἰδώλοις [19] ἐλέγχει ὑμᾶς. Ἡμεῖς δέ, ὑπὲρ τοῦ μὴ θυσιάζειν
οἷς πάλαι ἐθύομεν, ὑπομένομεν τὰς ἐσχάτας τιμωρίας καὶ θανα-
τούμενοι χαίρομεν, πιστεύοντες ὅτι ἀναστήσει ἡμᾶς ὁ θεὸς διὰ τοῦ
Χριστοῦ αὐτοῦ καὶ ἀφθάρτους καὶ ἀπαθεῖς καὶ ἀθανάτους ποιήσει·
[20] καὶ οὐδὲν συμβάλλεσθαι πρὸς δικαιοπραξίαν καὶ εὐσέβειαν τὰ E
διὰ τὴν σκληροκαρδίαν τοῦ λαοῦ ὑμῶν διαταχθέντα γινώσκομεν.

47. Καὶ ὁ Τρύφων πάλιν· Ἐὰν δέ τις, εἰδὼς ὅτι ταῦτα οὕ-
τως ἔχει, μετὰ τοῦ καὶ τοῦτον εἶναι τὸν Χριστὸν ἐπίστασθαι δηλο-
νότι καὶ πεπιστευκέναι καὶ πείθεσθαι αὐτῷ, βούλεται καὶ ταῦτα
φυλάσσειν, σωθήσεται; ἐπυνθάνετο.

Κἀγώ· Ὡς μὲν ἐμοὶ δοκεῖ, ὦ Τρύφων, λέγω ὅτι σωθήσε-
ται ὁ τοιοῦτος, ἐὰν μὴ τοὺς ἄλλους ἀνθρώπους, λέγω δὴ τοὺς
ἀπὸ τῶν ἐθνῶν διὰ τοῦ Χριστοῦ ἀπὸ τῆς πλάνης περιτμηθέν- 266
τας, ἐκ παντὸς πείθειν ἀγωνίζηται ταὐτὰ αὐτῷ φυλάσσειν, λέγων
οὐ σωθήσεσθαι αὐτούς, ἐὰν μὴ ταῦτα φυλάξωσιν, ὁποῖον [1] ἐν
ἀρχῇ τῶν λόγων καὶ σὺ ἔπραττες, ἀποφαινόμενος οὐ σωθήσε-
σθαί με, ἐὰν μὴ ταῦτα φυλάξω.

Κἀκεῖνος· Διὰ τί οὖν εἶπας· Ὡς μὲν ἐμοὶ δοκεῖ, σωθήσε-
ται ὁ τοιοῦτος, [2] εἰ μή τι εἰσὶν οἱ λέγοντες ὅτι οὐ σωθήσονται
οἱ τοιοῦτοι;

Εἰσίν, ἀπεκρινάμην, ὦ Τρύφων, καὶ μηδὲ κοινωνεῖν ὁμι-
λίας ἢ ἑστίας τοῖς [3] τοιούτοις τολμῶντες· οἷς ἐγὼ οὐ σύναινός B
εἰμι. Ἀλλ' ἐὰν αὐτοὶ διὰ τὸ ἀσθενὲς τῆς γνώμης καὶ τὰ ὅσα
δύνανται νῦν ἐκ τῶν Μωσέως, ἃ διὰ τὸ σκληροκάρδιον τοῦ λαοῦ

nullam illius (Dei) *colendi memoriam teneretis. Vobis tamen ne sic quidem* (καὶ οὐδ' οὕτως etc.) *persuasum est* etc..

16. ἔχετε] Sylburg. cum Lango εἴχετε mallet.

17. ἀριθμὸν ὄντας] Thirlb. ἀριθμὸν μόνον ὄντας conjectat argutius quam verius.

18. εἶπε] Cf. 1. Regg. XIX. 18. coll. ep. ad Rom. XI. 4..

19. ἐλέγχει] Cf. Jesai. LVII. 5. sq..

20. καὶ οὐδὲν etc.] Vid. supra B: Διὰ τὸ σκληροκάρδιον etc..

riam tenetis et ne sic quidem vobis persuasum est, ut simulacra ne coleretis; Eliae enim tempore eorum numerum recensens, qui genu Baali non flexerant, septem millia numero esse dixit, et apud Jesaiam vobiscum expostulat, quod vestros etiam filios simulacris immolaveritis. Nos autem, ne iis sacra faciamus quibus olim fecimus, extrema supplicia perferimus et dum occidimur, laetamur, minime dubii, quin nos Deus per Christum suum ad vitam revocaturus sit atque incorruptos et perpessionis expertes et immortales facturus; et quae ob duritiam cordis populi vestri instituta sunt, ea nihil ad justitiae observationem et pietatem afferre novimus.

47. Rursus Trypho: Si quis, haec ita se habere sciens, praeterquam quod hunc Christum esse agnoscat videlicet eique credat et obediat, haec quoque instituta observare voluerit, utrum is salvabitur? Ita ille sciscitabatur.

At ego: Ut mihi quidem videtur, Trypho, hominem ejusmodi salvum dico futurum, si modo ceteris hominibus, id est iis qui ex gentibus per Christum ab errore circumcisi sunt, omnino persuadere non conetur, ut eadem ac ipse observent, salutem eos negans adepturos, nisi haec custodiant, quale est quod et initio colloquii faciebas, quum pronuntiares salvum me non futurum, nisi haec observarem.

Tum ille: Cur igitur dixisti: *Ut mihi quidem videtur, talis salvus erit*, nisi quia sunt qui tales negent salvos futuros?

Sunt, inquiebam, o Trypho, et quidem nec sermonis nec hospitii communione cum talibus conjungi audent: quibus ego non assentior. Sed si illi ob animi infirmitatem etiam quaecumque nunc possunt ex iis, quae a Mose propter duritiam

1. *ἐν ἀρχῇ*] Cf. c. 8. p. 226. A. B.

2. *εἰ μή τι*] Pearsono *εἰ* redundare videtur. *Cur igitur dixisti: Ut mihi quidem videtur, talis salvus erit? Num sunt qui tales salvos futuros negent?*

3. *τοιούτοις*] H. e. qui postea, quam Jesum esse Christum agnoverint, legis quoque instituta volunt observare (Trypho paulo ante: *μετὰ τοῦ καὶ τοῦτον εἶναι τὸν Χριστὸν ἐπίστασθαι ... βούλεται καὶ ταῦτα φυλάσσειν*) — id quod in causa erat, cur nonnulli a communione illos excluderent.

νοοῦμεν διατετάχθαι, μετὰ τοῦ ἐπὶ τοῦτον τὸν Χριστὸν ἐλπίζειν
καὶ τὰς αἰωνίους καὶ φύσει δικαιοπραξίας καὶ εὐσεβείας φυλάσ-
σειν [4] βούλωνται καὶ αἱρῶνται συζῆν τοῖς Χριστιανοῖς καὶ πιστοῖς,
ὡς προεῖπον, μὴ πείθοντες αὐτοὺς μήτε περιτέμνεσθαι ὁμοίως C
αὐτοῖς μήτε σαββατίζειν μήτε ἄλλα ὅσα τοιαῦτά ἐστι τηρεῖν, καὶ
προσλαμβάνεσθαι καὶ κοινωνεῖν ἁπάντων, ὡς ὁμοσπλάγχνοις καὶ
ἀδελφοῖς, [5] δεῖν ἀποφαίνομαι. Ἐὰν δὲ οἱ ἀπὸ τοῦ γένους τοῦ
ὑμετέρου πιστεύειν λέγοντες ἐπὶ τοῦτον τὸν Χριστόν, ὦ Τρύφων,
ἔλεγον, ἐκ παντὸς κατὰ τὸν διὰ Μωσέως διαταχθέντα νόμον ἀναγ- D
κάζωσι ζῆν τοὺς ἐξ ἐθνῶν πιστεύοντας ἐπὶ τοῦτον τὸν Χριστὸν
ἢ μὴ κοινωνεῖν αὐτοῖς τῆς τοιαύτης συνδιαγωγῆς αἱρῶνται, ὁμοί-
ως καὶ τούτους οὐκ ἀποδέχομαι. Τοὺς δὲ πειθομένους αὐτοῖς ἐπὶ
τὴν ἔννομον πολιτείαν μετὰ τοῦ φυλάσσειν τὴν εἰς τὸν Χριστὸν
τοῦ θεοῦ ὁμολογίαν καὶ σωθήσεσθαι [6] ἴσως ὑπολαμβάνω. Τοὺς
δὲ ὁμολογήσαντας καὶ ἐπιγνόντας τοῦτον εἶναι τὸν Χριστὸν καὶ
ἡτινιοῦν αἰτίᾳ μεταβάντας ἐπὶ τὴν ἔννομον πολιτείαν, ἀρνησαμέ-
νους ὅτι οὗτός ἐστιν ὁ Χριστός, καὶ πρὶν τελευτῆς μὴ μεταγνόν-
τας οὐδόλως σωθήσεσθαι ἀποφαίνομαι. Καὶ τοὺς ἀπὸ τοῦ σπέρ- E
ματος τοῦ Ἀβραὰμ ζῶντας κατὰ τὸν νόμον καὶ ἐπὶ τοῦτον τὸν
Χριστὸν μὴ πιστεύοντας πρὶν τελευτῆς τοῦ βίου οὐ σωθήσεσθαι
ὁμοίως ἀποφαίνομαι, καὶ μάλιστα τοὺς [7] ἐν ταῖς συναγωγαῖς κα-
ταναθεματίσαντας καὶ καταναθεματίζοντας ἐπ' αὐτὸν τοῦτον τὸν
Χριστὸν [8] καὶ πᾶν ὅπως τύχωσι τῆς σωτηρίας καὶ τῆς τιμωρίας
τῆς ἐν τῷ πυρὶ ἀπαλλαγῶσιν. [9] Ἡ γὰρ χρηστότης καὶ ἡ φιλαν-

4. βούλωνται] Stephan. βούλονται mendose.

5. δεῖν ἀποφαίνομαι] Ita jam Sylburgio observante Martyr sine dubio scripsit; nempe eodem modo et paulo infra bis et alibi ἀποφαίνομαι saepe occurrit. In Codd. mstis et editis δεῖν ἀποφαίνεσθαι, quod solus Maranus male sic defendere studet, ut ἀποφαίνεσθαι ad superiora verba referat, quasi scriptum sit ἀλλὰ σύναινός εἰμι τοῦ (?) ἀποφαίνεσθαι.

6. ἴσως] Alii interpretabuntur *similiter*. Male Langus: *itidem non salvari putem*.

7. ἐν τ. συναγωγαῖς ... Χριστὸν] Cf. c. 16. not. 10.

8. καὶ πᾶν ὅπως] Videtur aliquid deesse. Langus legit καταναθεματίζοντας τοὺς ἐπ' αὐτὸν τοῦτον τὸν Χριστὸν πιστεύοντας, καὶ μὴ μετανοοῦντας καὶ πᾶν πράττοντας ὅπως τύχωσι: *Jugulant in hunc ipsum Christum credentes [nisi resipiscentes faciant] omnia, quo salutem consequantur*. Sylburgius

cordis populi instituta novimus, cum spe in hunc Christum et aeternorum et naturalium justitiae pietatisque praeceptorum observatione conjungere voluerint, modo cum Christianis et fidelibus vivere non recusent nec iis, ut jam dixi, suadeant, ut similit ac ipsi circumcidantur aut sabbata et alia ejusmodi custodiant, eos suscipiendos esse et cum iis omnium rerum communionem, ut cum hominibus eodem modo affectis et fratribus, tenendam esse censeo. Sin autem qui ex vestro genere in hunc Christum sese dicunt credere, Trypho, ajebam, eos qui ex gentibus in hunc Christum credunt omnino secundum legem per Mosen institutam cogant vivere aut ejusmodi consuetudine cum eis conjungi nolint, non sane hos etiam similiter probo. Qui vero ab eis ad legis observationem cum confessione in Christum Dei conjungendam adducti fuerint, eos forsitan etiam salutem adepturos arbitror. At qui posteaquam confessi fuerint et agnoverint hunc esse Christum, quacumque de causa ad legis observationem traducti negaverint hunc esse Christum nec poenitentiam ante mortem egerint, nullam iis salutem fore censeo. Et qui ex semine Abrahami orti secundum legem vixerint nec ante vitae exitum in hunc Christum crediderint, similiter salvos minime futuros esse censeo, eos praesertim qui in synagogis execrati sunt et execrantur eos qui in hunc ipsum Christum credunt, ut salutem assequantur et ab ignis supplicio liberentur. Nam qui poenitentiam peccatorum agit, eum beni-

brevius legi mallet *καταναθεματίζοντας τοὺς ἐπ' αὐτὸν τοῦτον τὸν Χριστὸν πιστεύοντας καὶ πᾶν πράττοντας ὅπως τύχωσι*, ut posteriora illa duo commatia de Christianis intelligantur. Et haec sane sententia requiritur; cf. c. 108. p. 335. D: *καταρᾶσθαι αὐτοῦ καὶ τῶν πιστευόντων εἰς αὐτόν*. Quid? Fortasse Justinus scripsit: *καταναθεματίζοντας ἐπ' αὐτὸν τοῦτον τὸν Χριστὸν πιστεύοντας ὅπως* etc. (*qui propterea fiduciam in Christo collocant, ut*), ut c. 16. p. 234. C: *καταρώμενοι ἐν ταῖς συναγωγαῖς ὑμῶν τοὺς πιστεύοντας ἐπὶ τὸν Χριστόν* (coll. c. 96. p. 323. D). Minime autem placet Marani conjectura *κἂν πάνυ πως* etc. (*omnino enim salutem assequerentur*) subintelligendo videlicet: *si ante mortis exitum credant.* Insuper verba *καὶ μάλιστα ... Χριστὸν* parenthesi includit. Cod. Clarom. *καταθεματίσαντας καὶ καταθεματίζοντας ... καὶ πᾶν. ὅπως* etc..

9. *Ἡ γὰρ ... ἔχει*] Coll. ep. ad Rom. II. 4..

θρωπία τοῦ θεοῦ καὶ τὸ ἄμετρον τοῦ πλούτου [10] αὐτοῦ τὸν μετανοοῦντα ἀπὸ τῶν ἁμαρτημάτων, ὡς δι' [11] Ἰεζεκιὴλ μηνύει, ὡς δίκαιον καὶ ἀναμάρτητον ἔχει· καὶ τὸν ἀπὸ [12] εὐσεβείας ἢ δικαιοπραξίας μετατιθέμενον ἐπὶ ἀδικίαν καὶ ἀθεότητα ὡς ἁμαρτωλὸν καὶ ἄδικον καὶ ἀσεβῆ ἐπίσταται. Διὸ καὶ ὁ ἡμέτερος κύριος Ἰησοῦς Χριστὸς εἶπεν· [13] Ἐν οἷς ἂν ὑμᾶς καταλάβω, ἐν τούτοις καὶ κρινῶ. 267

48. Καὶ ὁ Τρύφων· Καὶ περὶ τούτων ὅσα φρονεῖς ἀκηκόαμεν, εἶπεν. Ἀναλαβὼν οὖν τὸν λόγον, ὅθεν ἐπαύσω, πέραινε· B
παράδοξός [1] τις γάρ ποτε καὶ μὴ δυνάμενος ὅλως ἀποδειχθῆναι δοκεῖ μοι εἶναι· τὸ γὰρ λέγειν σε προϋπάρχειν θεὸν ὄντα πρὸ αἰώνων τοῦτον τὸν Χριστόν, εἶτα καὶ γεννηθῆναι ἄνθρωπον γενόμενον ὑπομεῖναι, καὶ ὅτι οὐκ ἄνθρωπος [2] ἐξ ἀνθρώπου, οὐ μόνον παράδοξον δοκεῖ μοι εἶναι, ἀλλὰ καὶ μωρόν.

Κἀγὼ πρὸς ταῦτα ἔφην· Οἶδ' ὅτι παράδοξος ὁ λόγος δοκεῖ C
εἶναι, καὶ μάλιστα τοῖς ἀπὸ τοῦ γένους ὑμῶν, οἵτινες τὰ τοῦ θεοῦ οὔτε νοῆσαι οὔτε ποιῆσαί ποτε βεβούλησθε, ἀλλὰ τὰ τῶν διδασκάλων ὑμῶν, ὡς αὐτὸς ὁ θεὸς [3] βοᾷ. Ἤδη μέντοι, ὦ Τρύφων, εἶπον, οὐκ ἀπόλλυται τὸ [4] τοῦτον εἶναι Χριστὸν τοῦ θεοῦ, ἐὰν ἀποδεῖξαι μὴ δύνωμαι ὅτι καὶ προϋπῆρχεν υἱὸς τοῦ ποιητοῦ τῶν ὅλων, [5] θεὸς ὤν, καὶ γεγέννηται ἄνθρωπος διὰ τῆς παρθένου. Ἀλλὰ ἐκ παντὸς ἀποδεικνυμένου ὅτι οὗτός ἐστιν ὁ Χρι- D
στὸς ὁ τοῦ θεοῦ, [6] ὅστις οὗτος ἔσται, [7] ἐὰν δὲ μὴ ἀποδεικνύω ὅτι προϋπῆρχε καὶ γεννηθῆναι ἄνθρωπος ὁμοιοπαθὴς ἡμῖν, σάρκα

10. αὐτοῦ] Thirlb. conjicit αὐτῆς. Sed ne hoc quidem illi placet.

11. Ἰεζεκιὴλ] Cf. Ez. XXXIII. 12. — 20..

12. εὐσ. ἢ δικ.] Thirlb. notat rectius εὐσ. καὶ δικ. dici.

13. Ἐν ... κρινῶ] Fere idem dictum Clemens Alex. de div. serv. §. 40. (Opp. ed. Klotz. Tom. III.) p. 352. Deo attribuit per prophetam aliquem loquenti, idque ad Ezechielem (coll. VII. 3. 8., XVIII. 30., XXIV. 14., XXXIII. 20.) diserte refert Joannes Climacus in Scala Parad. p. 159.. Plurimi autem praeeunte Grabio (Spicileg. SS. PP. sec. I. p. 14. et 327.) haud male illud censent ex evangelio secundum Hebraeos desumtum esse. Quid? Fortasse ad locum Joann. V. 30.: Καθὼς ἀκούω, κρίνω (coll. VIII. 16.), minus diligenter expressum est.

1. τις γάρ ποτε] Redundat postrema vox et vacat, nec videtur collocanda post δυνάμενος, ut placuit Sylburgio. *Maranus.*

2. ἐξ ἀνθρώπου] Fortasse ἐξ

gnitas et humanitas Dei et immensitas divitiarum ejus, quemadmodum per Ezechielem declarat, perinde ac justum et peccato carentem habet; qui autem a pietate et justitiae observatione ad injustitiam et impietatem delabitur, eum ut peccatorem et injustum et impium numerat. Quapropter dominus noster Jesus Christus dixit: *In quibus vos deprehendero, in his et judicabo.*

48. Hic Trypho: Et his de rebus quid sentires audivimus, ajebat. Repetens igitur sermonem, in quo desieras, absolve; nam abhorrens quidam ab opinione mihi videtur et qui prorsus demonstrari non possit: quod enim ais praeexstitisse Deum ante saecula hunc Christum, deinde etiam nasci hominem factum sustinuisse, nec hominem ex homine esse, id non solum ab opinione abhorrens mihi videtur, sed etiam stultum.

Ad haec ego dixi: Scio hanc doctrinam ab opinione abhorrentem videri, praesertim vestri generis hominibus, qui quae Dei sunt nec intelligere nec facere umquam voluistis, sed quae sunt magistrorum vestrorum, quemadmodum ipse Deus clamat. Verumtamen, Trypho, ajebam, nequaquam irritum est quod demonstravi, hunc esse Christum Dei, si demonstrare non possim illum etiam praeexstitisse filium creatoris universorum, Deum existentem, et hominem per virginem genitum esse. Sed quum omnino demonstratum sit hunc esse Christum Dei, quicumque is sit — si minus demonstravero praeexstitisse atque

ἀνθρώπων, ut paulo infra et c. 49. p. 268. A, Apol. I. c. 21. p. 67. B. al..

3. βοᾷ] Cf. Jesai. XXIX. 13..

4. τοῦτον] Vulgo τοιοῦτον. Illud Grotio (ad Luc. XXIII. 35.) debetur (jam Langus: *Christum hunc esse Dei*) probaturque ab omnibus editoribus. Quare reposui.

5. θεὸς ὤν] Thirlb. conjicit καὶ θεὸς ὤν. Etsi non mala, non tamen necessaria emendatio; jam supra: θεὸν ὄντα.

6. ὅστις οὗτος ἔσται] H. e. sive θεὸς sive ἄνθρωπος ἐξ ἀνθρώπων.

7. ἐὰν δὲ μὴ] Incommode δὲ ita positum est, ut antea exspectaveris ἀποδεικνύμενον sc. ἐστί. Thirlb. mallet καὶ vel δὴ aut antea ἀποδεικνύμενον μένει Videtur autem ista vocula redundare, ut c. 45. p. 263. E, Apol. II. c. 1. p. 41. B. al.; cf. c. 42. not. 3.. Editores Thirlbio et Marano exceptis male sic distinguunt: παρθένου, ἀλλὰ... ἔσται· ἐὰν δὲ μὴ etc..

ἔχων, κατὰ τὴν τοῦ πατρὸς βουλὴν ὑπέμεινεν, ἐν τούτῳ πεπλα-
νῆσθαί με μόνον λέγειν δίκαιον, [8] ἀλλὰ μὴ ἀρνεῖσθαι ὅτι οὗτός
ἐστιν ὁ Χριστός, ἐὰν φαίνηται ὡς ἄνθρωπος ἐξ ἀνθρώπων γεννη-
θείς, καὶ [9] ἐκλογῇ γενόμενος εἰς τὸ Χριστὸν εἶναι ἀποδεικνύηται. E
Καὶ γάρ εἰσί [10] τινες, ὦ φίλοι, ἔλεγον, ἀπὸ τοῦ ἡμετέρου γένους
ὁμολογοῦντες αὐτὸν Χριστὸν εἶναι, ἄνθρωπον δὲ ἐξ ἀνθρώπων
γενόμενον ἀποφαινόμενοι· οἷς οὐ συντίθεμαι, [11] οὐδ' ἂν πλεῖστοι
ταὐτά μοι δοξάσαντες εἴποιεν, ἐπειδὴ οὐκ ἀνθρωπείοις διδάγμασι
κεκελεύσμεθα ὑπ' αὐτοῦ τοῦ Χριστοῦ πείθεσθαι, ἀλλὰ τοῖς διὰ
τῶν μακαρίων προφητῶν κηρυχθεῖσι καὶ δι' αὐτοῦ διδαχθεῖσι.

49. Καὶ ὁ Τρύφων· Ἐμοὶ μὲν δοκοῦσιν, εἶπεν, οἱ λέγοντες [1] ἄν- 268
θρωπον γεγονέναι αὐτὸν καὶ κατ' ἐκλογὴν κεχρίσθαι [2] καὶ Χριστὸν
γεγονέναι πιθανώτερον ὑμῶν λέγειν τῶν ταῦτα ἅπερ φὴς λεγόν-
των· καὶ γὰρ πάντες ἡμεῖς τὸν Χριστὸν ἄνθρωπον ἐξ ἀνθρώπων
προσδοκῶμεν γενήσεσθαι καὶ τὸν Ἠλίαν [3] χρίσαι αὐτὸν ἐλθόντα.
Ἐὰν δὲ οὗτος φαίνηται ὢν ὁ Χριστός, ἄνθρωπον μὲν ἐξ ἀνθρώ-
πων γενόμενον ἐκ παντὸς ἐπίστασθαι δεῖ· ἐκ δὲ τοῦ μηδὲ Ἠλίαν
ἐληλυθέναι οὐδὲ τοῦτον ἀποφαίνομαι [4] εἶναι. B

Κἀγὼ πάλιν ἐπυθόμην αὐτοῦ· Οὐχὶ Ἠλίαν φησὶν ὁ λόγος διὰ [5] Ζαχαρίου ἐλεύσεσθαι πρὸ τῆς ἡμέρας τῆς μεγάλης καὶ φοβερᾶς ταύτης τοῦ κυρίου;

Κἀκεῖνος ἀπεκρίνατο· Μάλιστα.

8. *ἀλλὰ μὴ*] Sc. *δίκαιον.*

9. *ἐκλογῇ γεν. εἰς τὸ Χρ. εἶναι*] Hoc reposui in textum pro *ἐκλογὴ γεν. εἰς τὸν Χρ. εἶναι*, quod male comparet in Codd. mstis et editis. Illud *ἐκλογῇ* jam Stephan. (ad edit. calcem) conjecit; c. 49. p. 268. A. *κατ' ἐκλογήν.* Thirlb. vult *ἐκλεγόμενος* vel *ἐκλελεγμένος, εἰς τὸ Χρ. εἶναι.*

10. *τινες ... ἡμετέρου γένους*] *Quidam ex* n o s t r o h. e. Christianorum (hos enim — tum orthodoxos tum haereticos — hîc opponit Judaeis) *genere* h. e. E b i o n i t a e, de quibus adeas Euseb. Hist. eccl. III. c. 27. (ed. Heinichen. Tom. I.) p. 252. sq.. Uterque Londinensis editor Bullo (Judic. eccl. cath. c. 7. §. 6. p. 73.) praeeunte (etiam Perion.: *generis vestri)* legendum opinatur *ὑμετέρου*, quia Ebionitae a Judaeis orti sint. Quod, ut vides, minime necessarium. Etiam haereticis nomen imponebatur Christianorum: c. 35. p. 253. A. et Apol. I. c. 26. p. 70. B; cf. c. 82. p. 308. C: *Καὶ παρ' ἡ μ ῖ ν νῦν πολλοί*

hominem perpessionibus nostris obnoxium et carnem habentem nasci secundum patris voluntatem sustinuisse: in hoc tantum aequum fuerit me errasse dicere, non autem negare eum Christum esse, etiamsi tamquam homo ex hominibus genitus videatur, nec quidquam amplius demonstretur, nisi eum electione consecutum esse, ut Christus esset. Sunt enim quidam, amici, ajebam, ex nostro genere, qui eum Christum esse confitentur, quamvis hominem ex hominibus genitum pronuntient: quibus ego non assentior, nec assentirer, etiamsi maxima pars, quae mecum consentit, idem diceret; non enim humanis doctrinis jussi sumus ab ipso Christo credere, sed iis quae a beatis prophetis praedicata et ab ipso tradita sunt.

49. Et Trypho: Mihi quidem videntur, inquit, qui illum hominem fuisse et electione unctum et Christum factum esse dicunt, probabilius quam vos, qui ea quae retulisti tenetis, dicere; nam et nos omnes Christum hominem ex hominibus exspectamus nasciturum et ab Elia, quando is venerit, unctum iri. Quodsi iste Christus esse videatur, homo ex hominibus omnino existimandus est; sed quia nondum venit Elias, neque hunc Christum esse censeo.

Rursus ergo illum percontatus sum: Annon effatum per Zachariam dicit Eliam ante magnum illum et terribilem domini diem esse venturum?

Respondit ille: Maxime.

εἰσι καὶ ψευδοδιδάσκαλοι.

11. οὐδ' ... εἴποιεν] Langus: *neque id sane multi, qui in eadem mecum sententia sunt, dixerint.* Similiter Perionius. At Gelenius: *Quibus non assentio, ne si maxima quidem esset turba sic opinantium.* Ego Marani sum interpretationem secutus. *Πλεῖστοι* sunt Christiani in universum; oppositum est illud quodammodo antecedenti *τινες*. Pro *ταὐτά μοι* Stephan., Jebb. et Thirlb. *ταῦτά μοι* scripserunt. Cf. c. 1. not. 12..

1. *ἄνθρωπον*] Addendum censet Thirlb. *ἐξ ἀνθρώπων.*

2. *καὶ Χριστὸν γεγον.*]. Nempe post baptismum. Cf. Theodoret. Haeret. fab. II. 1..

3. *χρίσαι*] Aoristum *χρίσαι* pro fut. *χρίσειν* positum, ut alibi. *Sylburgius.*

4. *εἶναι*] Si cui magis placeat *ἐληλυθέναι*, utatur suo jure: nos nihil mutamus neque mutandum putamus. *Thirlbius.*

5. *Ζαχαρίου*] Memoriae lapsu pro *Μαλαχίου* (IV. 5.).

Ἐὰν οὖν ὁ λόγος ἀναγκάζῃ ὁμολογεῖν, ὅτι δύο παρουσίαι τοῦ
Χριστοῦ προεφητεύοντο γενησόμεναι, μία μέν, ἐν ᾗ παθητὸς καὶ
ἄτιμος καὶ ἀειδὴς φανήσεται, ἡ δὲ ἑτέρα, ἐν ᾗ καὶ ἔνδοξος καὶ
κριτὴς ἁπάντων ἐλεύσεται, ὡς καὶ ἐν πολλοῖς τοῖς [6] προλελεγμένοις C
ἀποδέδεικται, οὐχὶ τῆς φοβερᾶς καὶ μεγάλης ἡμέρας, τουτέστι τῆς
δευτέρας παρουσίας αὐτοῦ, πρόοδον γενήσεσθαι τὸν Ἠλίαν νοή-
σομεν τὸν λόγον τοῦ θεοῦ κεκηρυχέναι;

Μάλιστα, ἀπεκρίνατο.

Καὶ ὁ ἡμέτερος οὖν κύριος, ἔφην, τοῦτο αὐτὸ ἐν τοῖς διδάγμα-
σιν αὐτοῦ παρέδωκε γενησόμενον, εἰπὼν [7] καὶ Ἠλίαν ἐλεύσεσθαι·
καὶ ἡμεῖς τοῦτο ἐπιστάμεθα γενησόμενον, ὅταν μέλλῃ ἐν δόξῃ ἐξ οὐ- D
ρανῶν παραγίνεσθαι ὁ ἡμέτερος κύριος Ἰησοῦς Χριστός, οὗ καὶ
τῆς πρώτης φανερώσεως κῆρυξ [8] προῆλθε τὸ ἐν Ἠλίᾳ γενόμενον
πνεῦμα τοῦ θεοῦ, ἐν Ἰωάννῃ, τῷ γενομένῳ ἐν τῷ γένει ὑμῶν
προφήτῃ, μεθ' ὃν οὐδεὶς ἕτερος [9] λοιπὸς παρ' ὑμῖν ἐφάνη προφή-
της· ὅστις ἐπὶ τὸν Ἰορδάνην ποταμὸν καθεζόμενος ἐβόα· [10] Ἐγὼ
μὲν ὑμᾶς βαπτίζω ἐν ὕδατι εἰς μετάνοιαν· ἥξει δὲ ὁ ἰσχυρότερός
μου, οὗ οὐκ εἰμι ἱκανὸς τὰ ὑποδήματα βαστάσαι· αὐτὸς ὑμᾶς E
βαπτίσει ἐν πνεύματι ἁγίῳ καὶ πυρί. Οὗ τὸ πτύον αὐτοῦ ἐν τῇ
χειρὶ αὐτοῦ, καὶ διακαθαριεῖ τὴν ἅλωνα αὐτοῦ καὶ τὸν σῖτον συν-
άξει εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ.
[11] Καὶ τοῦτον αὐτὸν τὸν προφήτην συνεκεκλείκει ὁ βασιλεὺς ὑμῶν
Ἡρώδης εἰς φυλακήν, καὶ γενεσίων ἡμέρας τελουμένης, ὀρχουμέ-
νης τῆς [12] ἐξαδελφῆς αὐτοῦ [13] τοῦ Ἡρώδου εὐαρέστως αὐτῷ, εἶ-
πεν αὐτῇ αἰτήσασθαι ὃ ἐὰν βούληται. Καὶ ἡ μήτηρ τῆς παιδὸς
ὑπέλαβεν αὐτῇ αἰτήσασθαι τὴν κεφαλὴν Ἰωάννου τοῦ ἐν τῇ φυλα-
κῇ· καὶ αἰτησάσης ἔπεμψε καὶ ἐπὶ πίνακι [14] ἐναχθῆναι τὴν κεφα-
λὴν Ἰωάννου ἐκέλευσε. Διὸ καὶ ὁ ἡμέτερος Χριστὸς εἰρήκει ἐπὶ 269
γῆς τότε τοῖς λέγουσι πρὸ τοῦ Χριστοῦ Ἠλίαν δεῖν ἐλθεῖν· [15] Ἠλίας

6. προλελεγμένοις] Cf. c. 14. p. 232. D. et c. 32. p. 249. D. E.

7. καὶ Ἠλίαν ἐλεύσ.] Coll. ev. Matth. XVII. 11..

8. προῆλθε ... Ἰωάννῃ] Coll. ev. Luc. I. 17..

9. λοιπὸς] Fortasse λοιπόν. Sed lectio vulgata ferri potest. *Thirlbius.*

10. Ἐγὼ ... ἀσβέστῳ] Ev. Matth. III. 11. sq. coll. Luc. III. 16. sq..

11. Καὶ ... ἐκέλευσε] Coll. ev. Matth. XIV. 3.—11., Marc. VI. 17.

Si igitur effatum confiteri cogit duplicem Christi adventum esse praedictum, alterum, in quo perpessionibus obnoxius et inglorius et informis apparebit, alterum, in quo circumfluens gloria et judex omnium adveniet, quemadmodum et supra pluribus demonstratum est: annon divino effato praedicatum intelligemus, Eliam terribilis et magni diei, id est secundi ejus adventus, praecursorem futurum esse?

Maxime, respondit ille.

Atque hoc ipsum, ajebam, dominus noster in doctrinis suis futurum esse tradidit, quum dixit *Eliam quoque esse venturum:* quod quidem nos futurum esse scimus, quum e coelis gloriose dominus noster Jesus Christus venturus est, cujus etiam primi adventus Spiritus Dei, qui in Elia fuerat, praeco praecessit in Joanne, vestri generis propheta, post quem nemo alius reliquus propheta apud vos exstitit; is ad Jordanem amnem considens clamabat: *Ego quidem vos baptizo aqua ad poenitentiam; veniet autem fortior me, cujus non sum dignus calceamenta portare: ipse vos baptizabit Spiritu sancto et igni. Cujus ventilabrum in manu ejus, et permundabit aream suam et congregabit triticum in horreum, paleam autem comburet igni inextinguibili.* Atque hunc ipsum prophetam rex vester Herodes conjecerat in carcerem, quumque natalitia celebrarentur, saltante fratris filia delectatus jussit eam petere quidquid vellet. Tum puellam mater submonuit, ut Joannis in vincula conjecti caput peteret; quod quum illa petiisset, misit rex et caput Joannis in lance jussit afferri. Quapropter et Christus noster, quum adhuc in terris versaretur, his qui oportere asserebant, ut Elias ante Christum veniret, haec dixit: *Elias quidem venturus et instauraturus est*

— 28. et Luc. III. 20..

12. ἐξαδελφῆς] Stephan. et Jebb. perperam divise scribunt ἐξ ἀδελφῆς.

13. τ. Ἡρώδου] Verus et germanus criticus *furcillis* hoc *ejiceret* tamquam manifestissimum glossema. Nos nihil mutamus. *Thirlbius.*

14. ἐναχθῆναι] Non male conjicit Sylburg. ἐνεχθῆναι ex Matth. XIV. 11. et Marc. VI. 27..

15. Ἠλίας ... ἠθέλησαν] Ev. Matth. XVII. 11. sq..

μὲν ἐλεύσεται καὶ ἀποκαταστήσει πάντα· λέγω δὲ ὑμῖν ὅτι Ἠλίας ἤδη ἦλθε, καὶ οὐκ ἐπέγνωσαν αὐτόν, ἀλλ' ἐποίησαν αὐτῷ ὅσα ἠθέλησαν. Καὶ γέγραπται, ὅτι [16] τότε συνῆκαν οἱ μαθηταὶ ὅτι περὶ Ἰωάννου τοῦ βαπτιστοῦ εἶπεν αὐτοῖς.

Καὶ ὁ Τρύφων· Καὶ τοῦτο παράδοξον λέγειν μοι δοκεῖς, ὅτι [17] τὸ ἐν Ἠλίᾳ τοῦ θεοῦ γενόμενον προφητικὸν πνεῦμα καὶ ἐν Ἰω- B
άννῃ γέγονε.

Κἀγὼ πρὸς ταῦτα· Οὐ δοκεῖ σοι ἐπὶ Ἰησοῦν, τὸν τοῦ Ναυῆ, τὸν διαδεξάμενον τὴν λαογησίαν μετὰ Μωσέα, τὸ αὐτὸ γεγονέναι, [18] ὅτε ἐῤῥέθη τῷ Μωσεῖ ἐπιθεῖναι τῷ Ἰησοῦ τὰς χεῖρας, εἰπόντος αὐτοῦ τοῦ θεοῦ· Κἀγὼ μεταθήσω ἀπὸ τοῦ πνεύματος τοῦ ἐν σοὶ ἐπ' αὐτόν;

Κἀκεῖνος· Μάλιστα.

Ὡς οὖν, φημί, ἔτι ὄντος τότε ἐν ἀνθρώποις τοῦ Μωσέως, με- C
τέθηκεν ἐπὶ τὸν Ἰησοῦν ὁ θεὸς ἀπὸ τοῦ ἐν Μωσεῖ πνεύματος, οὕτως καὶ [19] ἀπὸ τοῦ Ἠλίου ἐπὶ τὸν Ἰωάννην ἐλθεῖν ὁ θεὸς δυνατὸς ἦν ποιῆσαι, ἵνα ὥσπερ ὁ Χριστὸς τῇ πρώτῃ παρουσίᾳ ἄδοξος ἐφάνη, οὕτως καὶ τοῦ πνεύματος [20] τοῦ ἐν Ἠλίᾳ πάντοτε καθαρεύοντος, [21] ὡς τοῦ Χριστοῦ, ἄδοξος ἡ πρώτη παρουσία νοηθῇ. [22] Κρυφίᾳ γὰρ χειρὶ ὁ κύριος πολεμεῖν τὸν Ἀμαλὴκ εἴρηται, καὶ ὅτι ἔπεσεν ὁ Ἀμαλὴκ οὐκ ἀρνήσεσθε. Εἰ δὲ ἐν τῇ ἐνδόξῳ παρουσίᾳ τοῦ D
Χριστοῦ πολεμηθήσεσθαι τὸν Ἀμαλὴκ μόνον λέγεται, ποῖος καρπὸς ἔσται τοῦ λόγου, ὅς φησι· Κρυφίᾳ χειρὶ ὁ θεὸς πολεμεῖ τὸν Ἀμαλήκ; [23] Νοῆσαι δύνασθε ὅτι κρυφία δύναμις τοῦ θεοῦ γέγονε τῷ σταυρωθέντι Χριστῷ, ὃν καὶ τὰ δαιμόνια φρίσσει καὶ πᾶσαι ἁπλῶς αἱ ἀρχαὶ καὶ ἐξουσίαι [24] τῆς γῆς.

16. *τότε ... αὐτοῖς*] Ev. Matth. XVII. 13..

17. *τὸ ἐν Ἠλ.* etc.] Meliori ordine supra p. 268. D: *τὸ ἐν Ἠλίᾳ γενόμ. πν. τοῦ θεοῦ*. Cf. c. 43. not. 1..

τῆς γῆς — et Jesai. XIV. 1.: ὁ γειώρας προστεθήσεται πρὸς αὐτούς. Aquila, Symmachus et Theodotion hîc προσήλυτος praebent. Comp. Jul. Africani verba ap. Euseb. Hist. eccl. I. c. 7. (ed. Heinich. T. I.) p. 54. sq.. Hesychius γειώρας explicat γείτονας ἐξ ἄλλου γένους, καλουμένους τῷ Ἰσραὴλ προσηλύτους. Theodoretus in Jes. XIV. 1. (Opp. ed. Schulze T. II.) p. 266.: Γειώρας τῇ Ἑλλάδι φωνῇ ὁ προσήλυτος ἑρμηνεύεται· προσηλύτους δὲ ἐκάλουν τοὺς ἐκ τῶν ἐθνῶν προσιόντας καὶ τὴν νομικὴν πολιτείαν ἀσπαζομένους. Et significationem illam vides apud Justinum quoque observatam; dicit enim infra c. 123. p. 351. D: Οὐδὲν γὰρ χρῄζουσιν οἱ προσήλυτοι διαθήκης, εἰ... περὶ ἐκείνων οὕτως ἡ γραφὴ λέγει· Καὶ προστεθήσεται καὶ ὁ γηόρας πρὸς αὐτοὺς (Jes. l. c.) etc.. Non igitur γειώρας et προσηλύτους distinguit. Unde conjicere possis, nostro loco verba καὶ τοὺς προσηλύτους imperitia amanuensis in contextum esse infulta; fortasse enim quidam hujus loci lector ad τὸν γηόραν explicandum in margine aut supra lineam scripsit τοὺς προσηλύτους, quae verba indoctus librarius recepit in textum et connexionis causa καὶ inseruit. Quod si negaveris, concedas necesse est in vocula καὶ hîc aliquam explicandi vim inesse. Aliter Gallandius statuit. Nimirum is γειώρας ad proselytos *justitiae* s. *foederis* refert, προσηλύτους ad proselytos *portae* s. *domicilii* (illi se adigebant universae legi Mosaicae observandae, hi non item): — ast hoc discrimen quomodo possit probari, equidem nescio.

[2] πεφωτισμένους. [3] Ἦ γὰρ ἂν κἀκείνοις ἐμαρτύρει ὁ Χριστός· [4] νῦν δὲ διπλότερον υἱοὶ γεέννης, ὡς αὐτὸς εἶπε, [5] γίνεσθε. Οὐ πρὸς ἐκείνους οὖν οὐδὲ τὰ διὰ τῶν προφητῶν εἰρημένα λέλεκται, ἀλλὰ πρὸς ἡμᾶς, περὶ ὧν ὁ λόγος λέγει· [6] Ἄξω ἐν ὁδῷ τυφλούς, ἣν οὐκ ἔγνωσαν, καὶ τρίβους, [7] οὓς οὐκ ᾔδεισαν, πατήσουσι. Κἀγὼ μάρτυς, λέγει κύριος ὁ θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην. E Τίσιν οὖν μαρτυρεῖ ὁ Χριστός; Δῆλον ὡς τοῖς πεπιστευκόσιν. Οἱ δὲ προσήλυτοι οὐ μόνον οὐ πιστεύουσιν, ἀλλὰ διπλότερον ὑμῶν βλασφημοῦσιν εἰς τὸ ὄνομα αὐτοῦ, καὶ ἡμᾶς τοὺς εἰς ἐκεῖνον πιστεύοντας καὶ φονεύειν καὶ αἰκίζειν βούλονται· κατὰ πάντα γὰρ ὑμῖν ἐξομοιοῦσθαι σπεύδουσι. Καὶ πάλιν ἐν ἄλλοις βοᾷ· [8] Ἐγὼ κύριος ἐκάλεσά σε τῇ δικαιοσύνῃ, καὶ κρατήσω τῆς χειρός σου [9] καὶ ἰσχύσω σε, καὶ θήσω σε εἰς διαθήκην γένους, εἰς 351 φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν, ἐξαγαγεῖν ἐκ δεσμῶν πεπεδημένους. Ἐπεὶ καὶ ταῦτα, ὦ ἄνδρες, πρὸς τὸν Χριστὸν καὶ περὶ τῶν ἐθνῶν τῶν πεφωτισμένων εἴρηται. Ἢ πάλιν ὑμεῖς ἐρεῖτε· Πρὸς τὸν νόμον λέγει καὶ τοὺς προσηλύτους ταῦτα;

Καὶ ὥσπερ ἐν θεάτρῳ ἀνέκραγόν τινες τῶν τῇ δευτέρᾳ ἀφιγμένων· Ἀλλὰ τί; Οὐ πρὸς τὸν νόμον λέγει καὶ τοὺς φωτιζομένους ὑπ' αὐτοῦ; Οὗτοι δέ εἰσιν οἱ προσήλυτοι.

Οὔκ, ἔφην, ἀπιδὼν πρὸς τὸν Τρύφωνα. Ἐπεὶ εἰ νόμος B εἶχε τὸ φωτίζειν τὰ ἔθνη καὶ τοὺς ἔχοντας αὐτόν, τίς χρεία καινῆς διαθήκης; [10] Ἐπειδὴ καινὴν διαθήκην καὶ νόμον αἰώνιον καὶ πρόσταγμα ὁ θεὸς προεκήρυσσε πέμψειν, οὐχὶ τὸν παλαιὸν νόμον ἀκουσόμεθα καὶ τοὺς προσηλύτους αὐτοῦ, ἀλλὰ τὸν Χριστὸν καὶ τοὺς προσηλύτους αὐτοῦ, ἡμᾶς τὰ ἔθνη, οὓς ἐφώτισεν, ὥς πού φησιν· [11] Οὕτω λέγει κύριος· Καιρῷ δεκτῷ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ C

2. πεφωτισμ.] Vid. Apol. I. c. 61. not. 13.

3. Ἦ γὰρ] Sic pro vulg. ἢ γὰρ edidit Maranus; agnoscunt etiam Langus et Sylburgius.

4. νῦν ... γίνεσθε] Ev. Matth. XXIII. 15. H. Stephan. (in edit. epist. ad Diogn. p. 88.) legendum conjicit νῦν δὲ διπλ. υἱοὺς γεέννης . . . γίνεσθαι ποιεῖτε. Non male Thirlb. vult γίνονται scribi. Servat scripturam receptam Maran.; vid. not. seq.

5. γίνεσθε] Nimirum cum Judaica instituta amplectimini. Quae enim proselytis dicit, ea Judaeis ipsis dici poterant, quibuscum pros-

illuminati sumus. Nam profecto istis quoque testimonium perhibuisset Christus: nunc autem duplo, ut ipse dixit, filii gehennae fitis. Non ergo ad eos prophetarum dicta pertinent, sed ad nos, de quibus effatum dicit: *Ducam caecos in via, quam nesciunt, et semitas, quas ignoraverunt, inambulabunt. Et ego testis, dicit dominus Deus, et puer meus, quem elegi.* Quibusnam igitur testimonium perhibet Christus? Credentibus videlicet. Proselyti autem non modo non credunt, sed duplo vos superant blasphemiis in nomen ejus evomendis, ac nos in eum credentes et occidere et excruciare volunt: in omnibus enim assimilari vobis conantur. Et rursus alibi clamat: *Ego dominus vocavi te in justitia, et apprehendam manum tuam et confortabo te, atque ponam te in foedus generis, in lucem gentium, ut aperias oculos caecorum, educas ex vinculis compeditos.* Nam haec quoque, o viri, ad Christum et de gentibus illuminatis dicta sunt. An rursus dicetis: Ad legem et ad proselytos haec dicit?

Et tamquam in theatro vociferati sunt nonnulli eorum qui postridie venerant: Quid? Nonne ad legem et ad eos, qui ab ea illuminantur, haec dicit? Hi autem sunt proselyti.

Minime, inquam, Tryphonem respiciens. Nam si lex gentes et eos, qui legem habent, illuminare posset, quid opus esset novo foedere? Quoniam novum foedus et aeternam legem ac mandatum missurum se Deus praenuntiabat, non veterem illam legem ejusque proselytos intelligemus, sed Christum ipsiusque proselytos, nos scilicet ex gentibus, quos illuminavit, quemadmodum alicubi ait: *Sic dicit dominus: Tempore accepto exaudivi te, et in die salutis auxiliatus sum tibi, et*

elytos unum esse populum probat c. 123.. *Maranus.*

6. *Ἄξω ... ἐξελεξάμην*] Jesai. XLII. 16. et XLIII. 10..

7. *οὓς*] Exspectaveris *ἅς*. Ast vulgaris lectio etiam in aliquot *τῶν* ο' Codd. mstis apud Holmes. reperitur.

8. *Ἐγὼ ... πεπεδημένους*] Jes. XLII. 6. sq..

9. *καὶ*] Maran. omisit errore.

10. *Ἐπειδὴ*] Fortasse scripsit Justinus *ἐπεὶ δέ*. Sed ferri tamen et vulgata lectio potest.

11. *Οὕτω ... ἐρήμους*] Jesai. XLIX. 8..

σωτηρίας ἐβοήθησά σοι, καὶ ἔδωκά σε εἰς διαθήκην ἐθνῶν, τοῦ καταστῆσαι τὴν γῆν καὶ κληρονομίαν κληρονομῆσαι ἐρήμους. Τίς οὖν ἡ κληρονομία τοῦ Χριστοῦ; Οὐχὶ τὰ ἔθνη; Τίς ἡ διαθήκη τοῦ Θεοῦ; Οὐχ ὁ Χριστός; Ὡς καὶ ἀλλαχοῦ φησίν· [12] Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.

123. Ὡς οὖν πάντα ταῦτα εἴρηται πρὸς τὸν Χριστὸν καὶ τὰ ἔθνη, οὕτως κἀκεῖνα εἰρῆσθαι νομίζετε. Οὐδὲν γὰρ χρήζουσιν D
οἱ προσήλυτοι διαθήκης, εἰ, ἑνὸς καὶ τοῦ αὐτοῦ πᾶσι τοῖς περιτεμνομένοις κειμένου νόμου, περὶ ἐκείνων οὕτως ἡ γραφὴ λέγει· [1] Καὶ προστεθήσεται καὶ ὁ γηόρας πρὸς αὐτούς, καὶ προστεθήσεται πρὸς τὸν οἶκον Ἰακώβ. [2] Καὶ ὅτι μὲν προσήλυτος ὁ περιτεμνόμενος εἰς τῷ λαῷ προσκεχωρηκέναι ἐστὶν ὡς αὐτόχθων· ἡμεῖς δὲ λαὸς κεκλῆσθαι ἠξιωμένοι [3] ὁμοίως [4] ἔθνος ἐσμὲν διὰ τὸ ἀπερίτμητοι εἶναι. Πρὸς δὲ καὶ γελοῖόν ἐστιν ἡγεῖσθαι ὑμᾶς τῶν μὲν προση- E
λύτων αὐτῶν ἀνεῷχθαι τὰ ὄμματα, [5] ὑμῶν δὲ οὔ, καὶ ὑμᾶς μὲν ἀκούειν τυφλοὺς καὶ κωφούς, ἐκείνους δὲ πεφωτισμένους. [6] Καὶ ὅτι γελοιότερον ἀποβήσεταί ὑμῖν τὸ πρᾶγμα, εἰ τὸν νόμον τοῖς ἔθνεσι δεδόσθαι φήσετε, [7] ὑμεῖς οὔτε ἐκεῖνον τὸν νόμον ἔγνωτε. Ηὐλαβεῖσθε γὰρ ἂν τὴν τοῦ θεοῦ ὀργήν, καὶ υἱοὶ ἄνομοι καὶ

12. Υἱός ... γῆς] Ps. II. 7. sq..

1. Καὶ ... Ἰακώβ] Jesai. XIV. 1.. Vid. supra c. 122. not. 1..

2. Καὶ ὅτι etc.] Ex Cod. Reg. Stephan., Jebb. et Thirlb. ediderunt καὶ ὅτι μὲν προσήλυτος ὁ περιτεμνόμενος, εἰ τῷ λαῷ προσκεχωρηκέναι ἐστὶν ὡς etc., Sylburg. et Morell. ex emendatione καὶ ... περιτεμνόμενος, εἰ τῷ λαῷ προσκεχώρηκεν, ἐστὶν ὡς etc.. Addit autem Sylburg. προσκεχωρηκέναι ferri non posse, nisi addatur αὐτὸν συνέβη aut aliud ejusmodi. Et Thirlb. mallet καὶ ἔτι ... περιτεμνόμενος ἐν τῷ (vel ἐν τῷ τῷ) λαῷ προσκεχωρηκέναι ἐστὶν ὡς etc.. Cod. Clarom. praebet κ. ὅτι ... εἰς τῷ καλῷ προσκεχωρηκέναι etc., unde Maran. monstratam viam secutus κ. ὅτι ... εἰς τῷ λαῷ προσκ. etc. textui inseruit, id quod haud improbaverim. Tibi fortasse magis placet εἰς τὸ τῷ λαῷ πρ.. Ut ille V. D. ante me observavit, absurda inesset dubitatio in his verbis: *Proselytus circumcisus, si ad populum accesserit* — quasi ex proselytis circumcisis alii adjungerentur populo, alii non. Verbis autem καὶ ὅτι μὲν etc. secunda Justini ratio continetur. Tres enim, ut Maran. bene adnotat, rationes affert, cur praeclara illa testimonia ad proselytos Judaeorum detorqueri non possint. „Prima, quia Judaeis

dedi te in foedus gentium, ut constitueres terram et haereditatem acciperes loca deserta. Quaenam igitur haereditas Christi? Nonne gentes? Quodnam Dei foedus? Nonne Christus? Quemadmodum etiam alibi dicit: *Filius meus es tu, ego hodie genui te; postula a me, et dabo tibi gentes haereditatem tuam et possessionem tuam terminos terrae.*

123. Quemadmodum igitur haec omnia ad Christum et gentes dicta sunt, ita etiam illa existimate esse dicta. Neutiquam enim indigent proselyti foedere, si, quum una et eadem lex omnibus circumcisis posita sit, de illis Scriptura sic loquitur: *Et apponetur etiam georas ad ipsos, et apponetur ad domum Jacobi.* Tum etiam quia proselytus, qui circumcisus est ut ad populum accedat, est instar indigenae: nos autem, qui populi appellatione dignati sumus, gens tamen sumus, eo quod non simus circumcisi. Praeterea ridiculum est, ut proselytorum quidem ipsorum oculos apertos esse, vestros autem nequaquam, ac vos quidem caecos et surdos, illos autem illuminatos dici existimetis. Res adhuc magis ridicula videbitur, si legem gentibus datam dicatis, vos autem ipsam illam legem non noveritis. Nam si nossetis, iram Dei metuis-

et proselytis una et eadem lex, non ergo in proselytis promissio novae legis impletur. Secunda, quia Judaei et proselyti unus sunt populus, unde manifesta conclusio est proselytos non esse illam gentium haereditatem Christo promissam. Tertia denique, quia absurdum foret proselytos illuminatos dici, caecos vero Judaeos.“

3. ὁμοίως] Jam Langus recte vertit: *tamen.* Ponitur enim illud interdum ubi ὅμως exspectabas. C. 124. p. 354. A: ... οὗτοι ὁμοίως τῷ Ἀδὰμ καὶ τῇ Εὔᾳ ἐξομοιούμενοι. Sic Herod. Hist. VII. c. 121.: Οἱ μὲν δὴ πιεζόμενοι ὁμοίως τὰ ἐπιτασσόμενα ἐπετέλεον. Plat. Men. p. 78. D. ed. Steph.: κἂν ἀδίκως τις αὐτὰ πορίζηται, ὁμοίως σὺ αὐτὰ (αὐτὸ?) ἀρετὴν καλεῖς;

4. ἔθνος] Thirlb. mallet ἔθνη.

5. ὑμῶν ... ὑμᾶς] Vulgatus textus male dat ἡμῶν ... ἡμᾶς. Jam Langus verum vidit.

6. Καὶ ὅτι] Hîc etiam (vid. not. 2.) conjicit Thirlbius legendum καὶ ἔτι. Probabilior sane conjectura eique libenter assentior (vid. c. 46. not. 2.): quamvis illud καὶ ὅτι eodem sensu ac paulo ante intelligi possit. *Maranus.*

7. ὑμεῖς οὔτε] Fortasse ὑμεῖς δὲ οὐκ.

ῥεμβεύοντες οὐκ ἂν ἦτε, δυσωπούμενοι ἀκούειν ἑκάστοτε λέγοντος
αὐτοῦ· [8] Υἱοί, οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς· καί· [9] Τίς τυφλός, 352
ἀλλ' ἢ οἱ παῖδές μου, καὶ κωφός, ἀλλ' ἢ οἱ κυριεύοντες αὐτῶν;
Καὶ ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ θεοῦ. [10] Εἴδετε πολλάκις, καὶ
οὐκ ἐφυλάξασθε· ἀνεῳγμένα τὰ ὦτα ὑμῶν, καὶ οὐκ ἠκούσατε.
[11] Εἰ καλὸς ὑμῶν ὁ ἔπαινος τοῦ θεοῦ καὶ [12] θεοῦ μαρτυρία δού-
λοις πρέπουσα; Οὐκ αἰσχύνεσθε πολλάκις ταῦτα ἀκούοντες, οὐδὲ
ἀπειλοῦντος τοῦ θεοῦ φρίσσετε, ἀλλ' ἦ λαὸς μωρὸς καὶ [13] σκληρο-
κάρδιός ἐστε. [14] Διὰ τοῦτο ἰδοὺ προσθήσω τοῦ μεταθεῖναι τὸν
λαὸν τοῦτον, λέγει κύριος, καὶ μεταθήσω αὐτούς, καὶ ἀπολῶ B
τὴν σοφίαν τῶν σοφῶν καὶ τὴν σύνεσιν τῶν συνετῶν κρύψω. Εὐ-
λόγως. Οὐ γὰρ σοφοί ἐστε οὐδὲ συνετοί, ἀλλὰ δριμεῖς καὶ παν-
οῦργοι· [15] σοφοὶ εἰς τὸ κακοποιῆσαι μόνον, γνῶναι δὲ βουλὴν
θεοῦ κεκρυμμένην ἢ διαθήκην κυρίου πιστὴν ἢ [16] τρίβους αἰωνί-
ους εὑρεῖν [17] ἀδύνατοι. Τοιγαροῦν· [18] Ἐγερῶ, φησί, τῷ Ἰσραὴλ
καὶ τῷ Ἰούδᾳ σπέρμα ἀνθρώπων καὶ σπέρμα κτηνῶν. Καὶ διὰ
Ἡσαΐου περὶ ἄλλου Ἰσραὴλ οὕτω φησί· [19] Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται
τρίτος Ἰσραὴλ ἐν τοῖς Ἀσσυρίοις καὶ Αἰγυπτίοις, εὐλογημένος ἐν C
τῇ γῇ, ἣν εὐλόγησε κύριος σαβαὼθ λέγων· Εὐλογημένος ἔσται ὁ
λαός μου ὁ ἐν Αἰγύπτῳ καὶ ὁ ἐν Ἀσσυρίοις, καὶ ἡ κληρονομία μου
Ἰσραήλ. Εὐλογοῦντος οὖν τοῦ θεοῦ καὶ Ἰσραὴλ τοῦτον τὸν λαὸν
καλοῦντος καὶ κληρονομίαν αὐτοῦ βοῶντος εἶναι, πῶς οὐ μετανο-
εῖτε ἐπί τε τῷ ἑαυτοὺς ἀπατᾶν ὡς μόνοι Ἰσραὴλ ὄντες, καὶ ἐπὶ

8. *Υἱοί ... αὐτοῖς*] Deuteron. XXXII. 20..

9. *Τίς ... ἠκούσατε*] Jesai. XLII. 19. sq..

10. *Εἴδετε* etc.] Vulgatur distinguendi notis omissis et inepte usurpatis: *εἰ δέ γε* (pro *εἴδετε* Jes. XLII. 20.: *Γ* et *Τ* haud raro confunduntur; vid. c. 69. not. 11.) *πολλάκις καὶ οὐκ ἐφυλάξασθε ἀνεῴγμενα τὰ ὦτα ὑμῶν, καὶ οὐκ ἠκούσατε εἰ καλὸς ... πρέπουσα, οὐκ* etc. Solus Maran. meliorem hic interpungendi rationem in textum introduxit. Ista autem verba (*εἴδετε ... ἠκούσατε*), quae Justino perperam attributa fuerant, Jesaiae restituenda esse Thirlbius probe observavit. Consentit Maranus.

11. *Εἰ καλὸς*] Thirlb. conjicit *εἰ* ejiciendum. Mallem cum eodem *Ἦ καλὸς* etc.. Cf. c. 122. p. 351. A. *H* et *EI* saepe a descriptoribus confunduntur, ut norunt eruditi.

12. *θεοῦ μαρτυρία δούλοις πρέπουσα*] Respicit Esaiae verba modo recitata: *ἐτυφλώθησαν οἱ δοῦλοι τοῦ θεοῦ.* Quare fortasse

setis, nec filii iniqui essetis et errore vagantes, sed cavissetis ne eum semper dicentem audiretis: *Filii, quibus non est fides in ipsis;* et: *Quis caecus, nisi pueri mei, et surdus, nisi qui dominantur eis? Et excaecati sunt servi Dei. Vidistis saepe, et non observastis; apertae aures vestrae, et non audivistis.* Num praeclara haec laus, quam Deus vobis tribuit, et Dei testimonium servos decens? Non vos pudet eadem saepe audire, nec Deo comminante contremiscitis, sed profecto populus estis insipiens et corde obduratus. *Propterea ecce addam ut transferam populum hunc,* dicit dominus, *et transferam eos, et perdam sapientiam sapientium et intelligentiam intelligentium occultabo.* Merito sane. Non enim sapientes estis neque prudentes, sed astuti et versuti: in hoc tantum sapientes ut male agatis, absconditum autem Dei consilium aut foedus domini fidele cognoscere aut aeternas semitas invenire non potestis. Itaque: *Excitabo*, inquit, *Israeli et Judae semen hominum et semen pecudum.* Et per Jesaiam de alio Israele sic loquitur: *Die illo erit tertius Israel in Assyriis et Aegyptiis, benedictus in terra, quam benedixit dominus Sabaoth dicens: Benedictus erit populus meus, qui est in Aegypto et qui in Assyriis, et haereditas mea Israel.* Quum igitur Deus hunc populum benedicat et Israelem vocet ac haereditatem suam esse clamet: quomodo poenitentiam non agitis, et quod vos ipsi decipiatis, quasi soli Israel essetis, et

sic potius scripsisse videatur: *μαρτυρία δούλοις θεοῦ πρέπουσα* — praesertim cum nemini placere possit: *ὁ ἔπαινος τοῦ θεοῦ καὶ θεοῦ μαρτυρία.* Sed et huic quoque lectioni repugnare videtur prius *θεοῦ.* Fortasse delendum posterius. Sed nihil mutamus, quippe qui in hujusmodi rebus librariorum fide libenter stemus. *Thirlbius.*

13. *σκληροκάρδιός*] Mallet Thirlb. rescribere *ἀκάρδιός* fretus loco Jerem. V. 21. sq..

14. *Διὰ ... κρύψω*] Jes. XXIX. 14..

15. *σοφοὶ ... μόνον*] Coll. Jerem. IV. 22..

16. *τρίβους αἰων. εὑρ.*] Coll. Jerem. VI. 16..

17. *ἀδύνατοι*] Elegantius Thirlb. dicit esse *ἀσύνετοι.*

18. *Ἐγερῶ ... κτηνῶν*] Jerem. XXXI. 27..

19. *Τῇ ... Ἰσραήλ*] Jes. XIX. 24. sq..

τῷ καταρᾶσθαι τὸν εὐλογημένον τοῦ θεοῦ λαόν; Καὶ γὰρ ὅτε πρὸς D
τὴν Ἱερουσαλὴμ καὶ τὰς πέριξ αὐτῆς ἔλεγε χώρας, οὕτω πάλιν
ἐπεῖπε· [20] Καὶ γεννήσω ἐφ᾽ ὑμᾶς ἀνθρώπους, τὸν λαόν μου Ἰσραήλ, καὶ κληρονομήσουσιν ὑμᾶς καὶ ἔσεσθε αὐτοῖς εἰς κατάσχεσιν, καὶ οὐ μὴ προστεθῆτε ἔτι ἀτεκνωθῆναι ἀπ᾽ αὐτῶν.

Τί οὖν; φησὶν ὁ Τρύφων. Ὑμεῖς Ἰσραήλ ἐστε καὶ περὶ ὑμῶν λέγει ταῦτα;

Εἰ μέν, ἔφην αὐτῷ, μὴ περὶ τούτων καὶ πολὺν λόγον πεποιήμεθα, κἂν ἀμφέβαλλον, μή τι οὐ [21] συνιῶν τοῦτο ἐρωτᾷς· E
ἐπειδὴ δὲ καὶ μετὰ ἀποδείξεως καὶ συγκαταθέσεως καὶ τοῦτο συνηγάγομεν τὸ ζήτημα, οὐ νομίζω σε ἀγνοεῖν μὲν τὰ προειρημένα οὐδὲ πάλιν φιλεριστεῖν, ἀλλὰ προκαλεῖσθαί με καὶ [22] τούτοις τὴν αὐτὴν ἀπόδειξιν ποιήσασθαι. Καὶ τῷ διὰ τῶν ὀφθαλμῶν νεύματι συντιθεμένου· Πάλιν, ἔλεγον ἐγώ, ἐν τῷ Ἠσαΐᾳ, ὦσιν ἀκούοντες εἰ ἄρα ἀκούετε, περὶ τοῦ Χριστοῦ λέγων ὁ θεὸς ἐν παραβολῇ 353
Ἰακὼβ αὐτὸν καλεῖ καὶ Ἰσραήλ. [23] Οὕτω λέγει· [24] Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ [25] ἐκλεκτός μου, θήσω τὸ πνεῦμά μου ἐπ᾽ αὐτόν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. Οὐκ ἐρίσει οὔτε κράξει, οὔτε ἀκούσεταί τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ· κάλαμον συντετριμμένον οὐ κατεάξει καὶ λίνον τυφόμενον οὐ μὴ σβέσει, [26] ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει, κρίσιν ἀναλήψει, καὶ οὐ μὴ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν· καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἐλπιοῦσιν ἔθνη. Ὡς οὖν ἀπὸ τοῦ ἑνὸς Ἰακὼβ ἐκείνου,
τοῦ καὶ Ἰσραὴλ ἐπικληθέντος, τὸ πᾶν γένος ὑμῶν προσηγόρευτο B
Ἰακὼβ καὶ Ἰσραήλ, οὕτω καὶ ἡμεῖς ἀπὸ τοῦ γεννήσαντος ἡμᾶς εἰς θεὸν Χριστοῦ, ὡς καὶ Ἰακὼβ καὶ Ἰσραὴλ καὶ Ἰούδα καὶ Ἰωσὴφ καὶ Δαβίδ, καὶ [27] θεοῦ τέκνα ἀληθινὰ καλούμεθα καὶ ἐσμέν, οἱ τὰς ἐντολὰς τοῦ Χριστοῦ φυλάσσοντες.

20. Καὶ . . . αὐτῶν] Ezech. XXXVI. 12.

21. συνιῶν] Vulgo perperam συνιών. Vid. c. 27. not. 8.

22. τούτοις] H. e. τοῖς τῇ δευτέρᾳ ἀφιγμένοις. C. 122. p. 351. A.

23. Οὕτω λέγει] Inter οὕτω et λέγει desideratur δέ, γὰρ aut alia ejusmodi conjunctio, aut pro λέγει reponendum participium λέγων. *Sylburgius.* Non mutamus.

24. Ἰακὼβ . . . ἔθνη] Jesai. XLII. 1.—4.

25. ἐκλεκτός μου] Sic recte mihi videtur emendavisse Stephan. lectionem ἐκλεκτοῦ μου, in utroque Cod. msto obviam librariorum culpa, quippe qui dubio procul de-

quod benedictum hunc Dei populum exsecremini? Etenim postquam ad Hierosolyma et ad eas quae circa illa sunt regiones locutus est, sic rursus addidit: *Et generabo super vos homines, populum meum Israelem: et haereditate possidebunt vos et eritis eis in possessionem, et non addetur vobis ultra ut absque liberis vos faciant.*

Quid igitur? inquit Trypho. Vos Israel estis ac de vobis haec dicit?

Si quidem, ajebam illi, non de his jam disseruissem idque pluribus, utique dubitarem, utrum id minus intelligens interrogaveris; sed quia hanc quoque quaestionem et cum demonstratione et cum assensione conclusimus, non te existimo ignorare quae jam dicta sunt aut rursus contentionis studio indulgere, sed provocare ut his quoque eadem demonstrem. Tum illo oculorum nutu assentiente: Rursus, ajebam, in Jesaia, si auribus audientes auditis, de Christo Deus in parabola loquens, Jacobum illum et Israelem appellat. Sic ait: *Jacobus servus meus, suscipiam eum; Israel electus meus, dabo spiritum meum super eum, et judicium gentibus proferet. Non contendet neque clamabit, neque audiet quisquam in plateis vocem ejus; calamum contritum non confringet et linum fumigans non exstinguet, sed in veritatem proferet, judicium recipiet, et non frangetur, donec ponat in terra judicium: et in nomine ejus gentes sperabunt.* Quemadmodum igitur ab uno illo Jacobo, qui et Israel cognominatus est, omne genus vestrum Jacobus et Israel vocatum est: sic etiam nos a Christo, qui nos in Deo genuit, ut Jacobus et Israel et Juda et Josephus et David, etiam veri filii Dei vocamur et sumus, mandata Christi servantes.

ciperentur *αὐτοῦ* antecedente. C. 135. p. 365. A: *ὁ ἐκλεκτός μου.*

26. *ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει, κρίσιν ἀναλήψει*] Legendum cum LXX: *ἀλλὰ εἰς ἀλήθειαν ἐξοίσει κρίσιν, ἀναλάμψει* — quod monuit olim Grotius ad Matth. XII. 20. *Thirlbius.* Marano placuit edere *ἀλλὰ εἰς ἀλ. ἐξ. κρίσιν, ἀναλήψει* etc. commate inter *κρίσ.* et *ἀναλ.* collocato. Vid. c. 135. not. 4..

27. *θεοῦ ... φυλάσσοντες*] Coll. ev. Joann. I. 12. et ep. 1. Joann. III. 1. sq..

124. *Καὶ ἐπειδὴ εἶδον αὐτοὺς συνταραχθέντας ἐπὶ τῷ εἰπεῖν
με καὶ θεοῦ τέκνα εἶναι ἡμᾶς, προλαβὼν τὸ ἀνερωτηθῆναι εἶπον· C
Ἀκούσατε, ὦ ἄνδρες, πῶς τὸ ἅγιον πνεῦμα λέγει περὶ τοῦ λαοῦ
τούτου, ὅτι υἱοὶ ὑψίστου πάντες εἰσὶ καὶ ἐν τῇ συναγωγῇ αὐτῶν
παρέσται αὐτὸς οὗτος ὁ Χριστός, τὴν κρίσιν [1] ἀπὸ παντὸς γένους
ἀνθρώπων ποιούμενος. Εἴρηνται δὲ οἱ λόγοι διὰ Δαβίδ, ὡς μὲν
ὑμεῖς ἐξηγεῖσθε, οὕτως· [2] Ὁ θεὸς ἔστη ἐν συναγωγῇ θεῶν, ἐν
μέσῳ δὲ θεοὺς διακρίνει. Ἕως πότε κρίνετε ἀδικίαν καὶ πρόσωπα
ἁμαρτωλῶν λαμβάνετε; Κρίνατε ὀρφανῷ καὶ πτωχῷ, καὶ ταπει-
νὸν καὶ πένητα δικαιώσατε. Ἐξέλεσθε πένητα, καὶ πτωχὸν ἐκ D
χειρὸς ἁμαρτωλοῦ ῥύσασθε. Οὐκ ἔγνωσαν οὐδὲ συνῆκαν, ἐν σκό-
τει διαπορεύονται· σαλευθήσονται πάντα τὰ θεμέλια τῆς γῆς. Ἐγὼ
εἶπα· Θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες· ὑμεῖς δὲ ὡς ἄνθρωποι
ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε. Ἀνάστα ὁ θεός,
κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσιν.
[3] Ἐν δὲ τῇ τῶν ἑβδομήκοντα ἐξηγήσει εἴρηται· Ἰδοὺ δὴ ὡς ἄνθρω- E
ποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε, ἵνα δηλώσῃ
καὶ τὴν παρακοὴν τῶν ἀνθρώπων, τοῦ Ἀδὰμ λέγω καὶ τῆς Εὔας,
καὶ τὴν πτῶσιν τοῦ ἑνὸς τῶν ἀρχόντων, τουτέστι τοῦ κεκλημένου
ἐκείνου ὄφεως, πεσόντος πτῶσιν μεγάλην διὰ τὸ ἀποπλανῆσαι τὴν
Εὔαν. Ἀλλ' ἐπειδὴ οὐ πρὸς τοῦτό μοι νῦν ὁ λόγος λέλεκται, ἀλλὰ
πρὸς τὸ ἀποδεῖξαι ὑμῖν ὅτι τὸ πνεῦμα τὸ ἅγιον ὀνειδίζει τοὺς ἀν-
θρώπους, τοὺς καὶ θεῷ ὁμοίως ἀπαθεῖς καὶ ἀθανάτους, ἐὰν φυ- 354
λάξωσι τὰ προστάγματα αὐτοῦ, γεγενημένους καὶ κατηξιωμένους
ὑπ' αὐτοῦ υἱοὺς αὐτοῦ καλεῖσθαι, [4] καὶ οὗτοι ὁμοίως τῷ Ἀδὰμ
καὶ τῇ Εὔᾳ ἐξομοιούμενοι θάνατον ἑαυτοῖς ἐργάζονται· ἐχέτω καὶ*

1. *ἀπὸ παντὸς γένους ἀνθρώπων*] Nequaquam legendum *περί*, ut Sylburgius existimavit, sed sic intelligendum, quasi scriptum esset *ἀνθρώπων ἀπὸ παντὸς γένους* vel *τῶν ἀπὸ παντὸς γένους ἀνθρώπων.* Justino familiaris est haec loquendi ratio. Hinc c. 121. legimus *ἀπὸ παντὸς μετανοίαν πεποιῆσθαι.* *Maranus.*

2. *Ὁ θεὸς ... ἔθνεσιν*] Psalm. LXXXII..

3. *Ἐν δὲ τῇ τῶν ἑβδομ. ἐξηγήσει*] His verbis aperte respondent antecedentia *ὡς μὲν ὑμεῖς ἐξηγεῖσθε* (noli ea, quod psalmus Assapho tribuatur, ad *διὰ Δαβὶδ* referre), ut Justinus declaret aliquid esse discriminis inter Judaeorum et Septuaginta interpretationem. Huc respicit illud *πάλιν* c. 131. p. 360. C (ibid. not. 3.). Nullum vero dis-

124. Quumque eos viderem perturbatos, quia dixeram nos etiam Dei filios esse, interrogationi eorum occurrens dixi: Audite, o viri, quomodo Spiritus sanctus de populo isto dicat filios Altissimi omnes esse et in eorum conventu adfuturum ipsum illum Christum, ut omne hominum genus judicet. Verba autem per Davidem, ut vos quidem interpretamini, sic dicta sunt: *Deus stetit in synagoga deorum, in medio autem deos dijudicat. Quousque judicatis iniquitatem et facies peccatorum sumitis? Judicate pupillo et egeno, et humilem et pauperem justificate. Eripite pauperem, et egenum de manu peccatoris liberate. Non cognoverunt neque intellexerunt, in tenebris ambulant: movebuntur omnia fundamenta terrae. Ego dixi: Dii estis et filii Altissimi omnes; vos autem sicut homines morimini, et sicut unus principum caditis. Exsurge Deus, judica terram, quoniam tu haereditabis in omnibus gentibus.* In Septuaginta autem interpretatione dictum est: *Ecce sicut homines morimini, et sicut unus principum caditis*, ut etiam inobedientiam hominum declaret, id est Adami et Evae, et casum unius ex principibus, id est illius qui serpens dictus est, et magno casu concidit, eo quod Evam decepisset. Sed quia non in hunc usum effatum illud nunc profero, sed ut vobis demonstrem Spiritum sanctum exprobrare hominibus, quod, quum ita sint facti ut Deo similes ac perpessionis et mortis expertes, si mandata ejus servent, futuri sint, quumque eo honore sint dignati ut ejus filii vocentur, ipsi Adamo et Evae assimilati mortem sibi ipsi confici-

crimen librarii reliquerunt. Vid. c. 22. not. 7.. Medicinam, quam Thirlbius desperaverat, excogitavit Maranus. Nimirum tota res expedietur, si supra legamus *ὡς ἄνθρωπος*, ut in textu hebraeo. Ipse Justinus, ut ille V. D. ait, non obscure indicat discrimen in eo positum esse, quod Septuaginta posuerint *ὡς ἄνθρωποι*; dicit enim illorum interpretationem aptam esse ad demonstrandam hominum inobedientiam, *τὴν παρακοὴν τῶν ἀνθρώπων*, Adami scilicet et Evae.

4. *καὶ οὗτοι ὁμοίως*] Thirlb. et Maran. rescribi volunt *καὶ οὗτοι ὅμως*. Sine causa. Vid. c. 123. not. 3.. Insuper ille V. D. pro *καὶ οὗτοι* conjicit *εἰ οὗτοι* vel *εἰ καὶ οὗτοι*. — Adeas etiam c. 88. not. 10..

ἡ ἑρμηνεία τοῦ ψαλμοῦ ὡς βούλεσθε, καὶ οὕτως ἀποδέδεικται, ὅτι θεοὶ κατηξίωνται [5] γενέσθαι, καὶ υἱοὶ ὑψίστου πάντες δύνασθαι γενέσθαι κατηξίωνται, καὶ παρ' ἑαυτοὺς καὶ κρίνεσθαι καὶ καταδικάζεσθαι μέλλουσιν, ὡς καὶ Ἀδὰμ καὶ Εὔα. Ὅτι δὲ καὶ θεὸν τὸν Χριστὸν καλεῖ, ἐν πολλοῖς ἀποδέδεικται.

125. Ἐβουλόμην, λέγω, παρ' ὑμῶν μαθεῖν, ὦ ἄνδρες, τίς B
ἡ δύναμις τοῦ Ἰσραὴλ ὀνόματος. Καὶ ἡσυχαζόντων αὐτῶν ἐπή-
νεγκα· Ἐγὼ ὃ ἐπίσταμαι ἐρῶ· οὔτε γὰρ εἰδότα μὴ λέγειν δίκαιον
ἡγοῦμαι, οὔτε ὑπονοοῦντα ἐπίστασθαι ὑμᾶς καὶ διὰ φθόνον ἢ [1] δι'
ἀπειρίαν τὴν τοῦ βούλεσθαι ἐπίσταμαι αὐτὸς φροντίζειν ἀεί, ἀλλὰ
πάντα ἁπλῶς καὶ ἀδόλως λέγειν, ὡς ὁ ἐμὸς κύριος εἶπεν· [2] Ἐξῆλ-
θεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον· καὶ ὁ μὲν ἔπεσεν εἰς τὴν C
ὁδόν, ὁ δὲ εἰς τὰς ἀκάνθας, ὁ δὲ ἐπὶ τὰ πετρώδη, ὁ δὲ ἐπὶ τὴν
γῆν τὴν καλήν. Ἐλπίδι οὖν τοῦ εἶναί που καλὴν γῆν λέγειν δεῖ·
ἐπειδή γε ἐκεῖνος ὁ ἐμὸς κύριος, ὡς ἰσχυρὸς καὶ δυνατός, [3] τὰ
ἴδια παρὰ πάντων ἀπαιτήσει ἐλθών, καὶ τὸν οἰκονόμον [4] τὸν ἑαυ-
τοῦ οὐ καταδικάσει, εἰ γνωρίζοι αὐτόν, διὰ τὸ ἐπίστασθαι ὅτι δυ-
νατός ἐστιν ὁ κύριος αὐτοῦ καὶ ἐλθὼν ἀπαιτήσει τὰ ἴδια, ἐπὶ πᾶ-
σαν τράπεζαν διδόντα, ἀλλ' οὐ δι' αἰτίαν οἱανδηποτοῦν κατορύξαν- D
τα. Καὶ τὸ οὖν Ἰσραὴλ ὄνομα τοῦτο σημαίνει· ἄνθρωπος νικῶν
δύναμιν· [5] τὸ γὰρ Ἴσρα ἄνθρωπος νικῶν ἐστί, τὸ δὲ Ἢλ δύναμις.
Ὅπερ καὶ διὰ τοῦ μυστηρίου τῆς πάλης, ἣν ἐπάλαισεν Ἰακὼβ μετὰ
[6] τοῦ φαινομένου μὲν ἐκ τοῦ τῇ τοῦ πατρὸς βουλῇ ὑπηρετεῖν, θεοῦ

5. *γενέσθαι*] Thirlb. mavult *λέγεσθαι*. Supra (ψ' LXXXII. 6.): *θεοί ἐστε καὶ υἱοὶ ὑψίστου πάντες*.

1. *δι' ἀπειρίαν* etc.] Locus non sanus est. Commation illud *ἐπίσταμαι αὐτὸς* Perionius per parenthesin collocatum opinatur. Non male Sylburgius *τοῦ βούλεσθαι* pro *μὴ βούλεσθαι* positum autumat, ut sit sensus: *neque enim, si quis sciat, justum existimo non dicere, neque rursum si quis suspicetur vos scire et propter invidiam imperitiamve nolle dicere, id ego semper curare scio; sed semper scio simpliciter et absque dolo dicere.* Thirlbius pro *τὴν τοῦ βούλ.* mavult *λέγειν οὐ βούλεσθαι*. Videtur autem Marano ceteris non immutatis pro *ἐπίσταμαι αὐτὸς* legendum *ἀπατᾶν ἑαυτούς*. Certe alias quoque (cf. etiam infra p. 355. B: *ὅτι καὶ ἐν τούτοις ἑαυτοὺς πλανᾶτε* etc.) Martyr exprobrat Judaeis, quod semetipsos decipiant. Tum ad *ἀλλὰ* esset ex praecedentibus *δίκαιον ἡγοῦμαι* supplendum.

2. *Ἐξῆλθεν . . . καλήν*] Evang. Matth. XIII. 3.—8..

ant: habeat etiam psalmi interpretatio ut vultis; sic tamen constabit omnibus concessum esse, ut dii et filii Altissimi fieri possint, ac pro se quemque et judicandum et condemnandum esse, quemadmodum Adamum et Evam. Christum autem etiam Deum vocari jam multis demonstratum est.

125. Sed, inquam, a vobis scire velim, o viri, quam vim habeat illud nomen Israelis. Quumque illi silerent, intuli: Dicam equidem quod scio; neque enim aequum esse arbitror, ut quod scio non eloquar aut, vos scire quidem sed invidia aut voluntaria imperitia vosmetipsos decipere suspicans, semper sollicitudine distringar, sed potius ut omnia simpliciter ac sine dolo proferam, quemadmodum dominus meus dixit: *Exiit sator ad seminandum semen; et aliud cecidit in viam, aliud in spinas, aliud in loca saxosa, aliud in terram bonam.* In spem igitur, alicubi esse terram bonam, dicendum est; nam dominus ille meus, tamquam fortis et potens, sua ab omnibus reposcet veniens: ac dispensatorem suum non condemnabit, si illum noverit, quum probe sciret dominum suum potentem esse et venientem sua repetiturum, ad omnem mensam dedisse quae acceperat, minime vero defodisse ob ullam prorsus causam. Id igitur valet Israelis nomen: homo vincens virtutem; *Isra* enim est homo vincens, *El* autem virtus. Quod quidem Christum ita facturum esse, quum homo factus fuisset, per mysterium illius etiam luctationis praedictum est, qua Jacobus luctatus est cum eo qui videbatur quidem, eo quod patris vo-

3. *τὰ ἴδια ... κατορύξαντα*] Coll. ev. Matth. XXV. 18.—27..

4. *τὸν*] Omisit Maranus contra codices.

5. *τὸ γὰρ ... δύναμις*] Vulgo male omittitur *νικῶν*, quod mihi erat refingendum, ut nemo non videt. Jam Drusius (Comment. minor. ad voces hebr. N. T. p. 16.), quem editores inde a Jebbio secuti sunt, commendavit voce ista paulo aliter collocata *τὸ γὰρ ''Ισρα ἄνθρ. ἐστι νικῶν*. Correctio certa est ex proxime antecedentibus. Itaque Justini opinione I s r a e l dictus est quasi איש שרה אל = *homo vincens potentiam.*

6. *τοῦ φαινομένου*] Scil. *ἐν ἰδέᾳ ἀνθρώπου.* (c. 58. p. 281. E). Designatur autem Logos; nunquam enim supremus Deus (ὁ ὄντως θεός) in terram descendit, ut Justinus multis locis docet.

δὲ ἐκ τοῦ εἶναι [7] τέκνον πρωτότοκον τῶν ὅλων κτισμάτων, ἐπε-
προφήτευτο οὕτως καὶ ἄνθρωπος γενόμενος ὁ Χριστὸς ποιήσειν.
Ὅτε γὰρ ἄνθρωπος γέγονεν, [8] ὡς προεῖπον, προσῆλθεν αὐτῷ ὁ E
διάβολος, τουτέστιν ἡ δύναμις ἐκείνη ἡ καὶ ὄφις κεκλημένη καὶ
σατανᾶς, πειράζων αὐτόν, καὶ ἀγωνιζόμενος καταβαλεῖν διὰ τοῦ
ἀξιοῦν προσκυνῆσαι αὐτόν. Ὁ δὲ αὐτὸν κατέλυσε καὶ κατέβαλεν,
ἐλέγξας ὅτι πονηρός ἐστι, παρὰ τὴν γραφὴν ἀξιῶν προσκυνεῖσθαι
ὡς θεός, [9] ἀποστάτης τῆς τοῦ θεοῦ γνώμης γεγενημένος. Ἀπο-
κρίνεται γὰρ αὐτῷ· [10] Γέγραπται· Κύριον τὸν θεόν σου προσ-
κυνήσεις καὶ αὐτῷ μόνῳ λατρεύσεις. Καὶ ἡττημένος καὶ ἐλη- 355
λεγμένος ἀπένευσε τότε ὁ διάβολος. Ἀλλ' ἐπεὶ καὶ ναρκᾶν ἔμελ-
λε, τουτέστιν ἐν πόνῳ καὶ ἐν ἀντιλήψει τοῦ πάθους, ὅτε σταυ-
ροῦσθαι ἔμελλεν, ὁ Χριστὸς ὁ ἡμέτερος, καὶ τούτου προκήρυ-
ξιν ἐποίησε διὰ τοῦ ἅψασθαι τοῦ μηροῦ τοῦ Ἰακὼβ καὶ ναρκῆ-
σαι ποιῆσαι. Ὁ δὲ Ἰσραὴλ ἦν ὄνομα αὐτῷ ἄνωθεν, ὃ ἐπωνόμασε
τὸν μακάριον Ἰακὼβ εὐλογῶν τῷ ἑαυτοῦ ὀνόματι, κηρύσσων καὶ
διὰ τούτου ὅτι πάντες οἱ δι' αὐτοῦ τῷ πατρὶ προσφεύγοντες [11] εὐ- B
λογημένος Ἰσραήλ ἐστιν. Ὑμεῖς δέ, μηδὲν τούτων νενοηκότες
μηδὲ νοεῖν παρασκευαζόμενοι, ἐπειδὴ κατὰ τὸ σαρκικὸν σπέρμα
τοῦ Ἰακὼβ τέκνα ἐστέ, πάντως σωθήσεσθαι προσδοκᾶτε. Ἀλλ'
ὅτι καὶ ἐν τούτοις ἑαυτοὺς πλανᾶτε, ἀποδέδεικταί μοι ἐν πολλοῖς.

126. Τίς δ' ἐστὶν οὗτος, ὃς καὶ ἄγγελος μεγάλης βουλῆς
ποτέ, καὶ ἀνὴρ διὰ Ἰεζεκιήλ, καὶ ὡς υἱὸς ἀνθρώπου διὰ Δανιήλ,
καὶ παιδίον διὰ Ἠσαΐου, καὶ Χριστὸς [1] καὶ θεὸς προσκυνητὸς [2] διὰ C
Δαβίδ, καὶ Χριστὸς καὶ λίθος διὰ πολλῶν, καὶ σοφία διὰ Σολο-
μῶνος, καὶ Ἰωσὴφ καὶ Ἰούδας καὶ ἄστρον διὰ Μωσέως, καὶ ἀνα-
τολὴ διὰ Ζαχαρίου, καὶ παθητὸς καὶ Ἰακὼβ καὶ Ἰσραὴλ πάλιν
διὰ Ἠσαΐου καὶ ῥάβδος καὶ ἄνθος καὶ λίθος ἀκρογωνιαῖος κέκλη-
ται καὶ υἱὸς θεοῦ, εἰ ἐγνώκειτε, ὦ Τρύφων, ἔφην, οὐκ ἂν ἐβλα-

7. τέκνον ... κτισμάτων] Coll. ep. ad Coloss. I. 15.

8. ὡς προεῖπον] Cf. c. 103. p. 331. C.

9. ἀποστάτης] Vid. c. 103. p. 331. B (not. 20.). Eamdem interpretationem, ut Jebb. observat, sequitur Irenaeus adv. haer. V. c. 21. §. 2. p. 319. ed. Mass.: „Satana enim verbum hebraicum *apostatam* significat.“

10. Γέγραπται ... λατρεύσεις] Ev. Matth. IV. 10.

11. εὐλογ. Ἰσρ.] Coll. Jesai.

luntati ministraret, Deus autem est, eo quod filius primogenitus sit omnium creaturarum. Postquam enim homo factus est, ut jam dixi, accessit ad eum diabolus, id est virtus illa, quae et serpens vocatur et Satanas, tentans eum, et prosternere contendens postulando ut se adoraret. At Christus eum profligavit et prostravit, improbum esse arguens, qui contra Scripturam adorari se ut Deum postularet, a Dei voluntate factus apostata. Respondet enim illi: *Scriptum est: Dominum Deum tuum adorabis et ei soli servies.* Tum fractus et convictus diabolus discessit. Sed quia futurum etiam erat ut Christus noster marcesceret, id est in aerumna et passionis sensu in crucem actus versaretur, hujus quoque rei praenuntiationem exhibuit, quum Jacobi femur tetigit atque ut marcesceret effecit. Erat autem illi antiquitus nomen Israel, quo beatum Jacobum cognominavit, benedicens ei suo ipsius nomine, atque hac etiam ratione praedicens omnes, qui per eum ad patrem confugiunt, benedictum esse Israelem. Vos autem quum nihil horum intelligatis nec ad intelligendum parati sitis, quia secundum carnale semen filii estis Jacobi, salvos omnino vos futuros exspectatis. At vos in his quoque a vobismetipsis in errorem induci, pluribus a me demônstratum est.

126. Quis vero hic sit, qui et angelus magni consilii interdum, et vir ab Ezechiele, et tamquam filius hominis a Daniele, et puerulus a Jesaia, et Christus et Deus adorandus a Davide, et Christus et lapis a multis, et sapientia a Salomone, et Josephus et Judas et stella a Mose, et oriens a Zacharia, et rursus a Jesaia passibilis et Jacobus et Israel et virga et flos et lapis angularis et filius Dei vocatus est: si nossetis, Trypho, inquam, non eum profecto blasphemiis appeteretis,

XIX. 24. sq.; vid. c. 123. p. 352. C.

1. *καὶ θεὸς προσκυνητὸς*] Fortasse *καὶ θεὸς καὶ προσκυνητός*. Sed vid. c. 68. not. 14..

2. *διὰ Δαβίδ*] Sic edo pro vulg. *καὶ Δαβίδ*. Mecum sentiunt Thirlbius et Maranus. Messiam saepe in Scriptura Davidem appellari etiam Judaei credebant; quapropter Lango et Sylburgio satius videtur legere *διὰ Δαβίδ, καὶ Δαβὶδ* etc.: haec sane a librario propter sequentis commatii affinitatem facile poterant omitti.

σφημεῖτε εἰς αὐτὸν ἤδη καὶ παραγενόμενον καὶ γεννηθέντα καὶ πα-
θόντα καὶ ἀναβάντα εἰς τὸν οὐρανόν· ὃς καὶ πάλιν παρέσται, D
[3] καὶ τότε κόψονται ὑμῶν αἱ δώδεκα φυλαί. Ἐπεὶ εἰ [4] νενοήκατε
τὰ εἰρημένα ὑπὸ τῶν προφητῶν, οὐκ ἂν ἐξηρνεῖσθε αὐτὸν εἶναι
θεόν, τοῦ μόνου καὶ ἀγεννήτου καὶ ἀῤῥήτου θεοῦ υἱόν. Εἴρηται
γάρ που καὶ διὰ Μωσέως ἐν τῇ Ἐξόδῳ οὕτως· [5] Ἐλάλησε δὲ κύ-
ριος πρὸς Μωσῆν καὶ εἶπε πρὸς αὐτόν· Ἐγώ εἰμι κύριος, καὶ ὤ-
φθην πρὸς τὸν Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, θεὸς αὐτῶν, καὶ E
τὸ ὄνομά μου οὐκ ἐδήλωσα αὐτοῖς, καὶ ἔστησα τὴν διαθήκην μου
πρὸς αὐτούς. Καὶ οὕτω πάλιν λέγει· [6] Μετὰ Ἰακὼβ ἄνθρωπος
ἐπάλαιε· καὶ θεόν φησιν εἶναι. [7] Εἶδον γὰρ θεὸν πρόσωπον πρὸς
πρόσωπον, καὶ ἐσώθη ἡ ψυχή μου, λέγει εἰρηκέναι τὸν Ἰακώβ.
Καὶ ὅτι καὶ τὸν τόπον, ὅπου αὐτῷ ἐπάλαισε καὶ ὤφθη καὶ εὐλό-
γησε, καὶ ἐκάλεσεν Εἶδος θεοῦ, ἀνέγραψε. Καὶ τῷ Ἀβραὰμ [8] ὁ- 356
μοίως, Μωσῆς φησίν, ὤφθη ὁ θεὸς πρὸς τῇ δρυῒ τῇ Μαμβρῇ,
καθημένῳ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ [9] μεσημβρίας. Εἶτα
ταῦτα εἰπὼν ἐπιφέρει· [10] Ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς εἶδε, καὶ
ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ· καὶ ἰδὼν συνέδραμεν
εἰς συνάντησιν αὐτοῖς. Μετ' ὀλίγον δὲ εἷς ἐξ αὐτῶν ὑπισχνεῖται
τῷ Ἀβραὰμ υἱόν· [11] Τί ὅτι ἐγέλασε Σάῤῥα λέγουσα· Ἆρά γε τέξο-
μαι; Ἐγὼ δὲ γεγήρακα. Μὴ ἀδυνατεῖ παρὰ τῷ θεῷ ῥῆμα; Εἰς B
τὸν καιρὸν τοῦτον [12] ἀποστρέψω εἰς ὥρας, καὶ ἔσται τῇ Σάῤῥᾳ
υἱός. Καὶ ἀπαλλάσσονται ἀπὸ Ἀβραάμ. Καὶ οὕτω περὶ αὐτῶν
πάλιν λέγει· [13] Ἐξαναστάντες δὲ ἐκεῖθεν οἱ ἄνδρες κατέβλεψαν ἐπὶ
πρόσωπον Σοδόμων. Εἶτα πάλιν πρὸς τὸν Ἀβραὰμ [14] ὃς ἦν καὶ
ἔστιν ὥς λέγει· [15] Οὐ μὴ κρύψω ἀπὸ τοῦ παιδός μου Ἀβραὰμ ἐγὼ
ἃ μέλλω [16] ποιεῖν· καὶ τὰ ἑξῆς ἀνιστορημένα ἀπὸ τῶν τοῦ Μω-

3. *καὶ ... φυλαί*] Coll. Zachar. XII. 12..

4. *νενοήκατε*] Thirlb. conjicit *ἐνενοήκειτε*.

5. *Ἐλάλησε ... αὐτούς*] Exod. VI. 2.—4..

6. *Μετὰ ... ἐπάλαιε*] Genes. XXXII. 24.. Pro *μετὰ* Maran. *κατὰ* dedit contra codicum auctoritatem.

7. *Εἶδον ... μου*] Gen. XXXII. 30..

8. *ὁμοίως, Μωσ. φησίν*] Tu fortasse *ὁμοίως* ad *φησίν* retuleris.

9. *μεσημβρίας*] Stephan. *μεσυμβρίας*.

10. *Ἀναβλέψας ... αὐτούς*] Genes. XVIII. 2..

11. *Τί ... υἱός*] Genes. XVIII. 13. sq..

etiam postquam advenit et natus et passus est et in coelum ascendit; qui quidem rursus adveniet, ac tunc plangent duodecim vestrae tribus. Nam si intellexissetis quae a prophetis dicta sunt, non eum negassetis Deum esse, solius et ingeniti et non enarrabilis Dei filium. Dictum est enim alicubi et per Mosen in Exodo ad hunc modum: *Locutus est autem dominus ad Mosen et dixit ad eum: Ego sum dominus, et visus sum Abrahamo et Isaaco et Jacobo, Deus eorum, et nomen meum non indicavi eis, et pepigi foedus meum cum eis.* Sic etiam rursus ait: *Cum Jacobo homo luctatus est;* eumque Deum esse dicit. Nam Jacobum dixisse refert: *Vidi Deum facie ad faciem, et salva facta est anima mea.* Scribit etiam locum, ubi cum eo luctatus est eique apparuit et benedixit, ab eo vocatum fuisse *Visionem Dei.* Et Abrahamo similiter, ut ait Moses, Deus ad quercum Mambrae apparuit, sedenti ad ostium tabernaculi meridie. Deinde his dictis adjicit: *Suspiciens autem oculis vidit, et ecce tres viri stabant supra eum; quos quum vidisset, occurrit obviam eis.* Paulo post unus ex illis promittit Abrahamo filium: *Cur risit Sara dicens: Num igitur pariam? Ego autem consenui. An impossibile est apud Deum verbum? Ad tempus hoc revertar in horas, et erit Sarae filius.* Et discesserunt ab Abrahamo. Deinde sic de illis rursus loquitur: *Exsurgentes autem inde viri conspexerunt in faciem Sodomorum.* Tum rursus quomodo Abrahamum is qui est et qui erat sic alloquatur: *Non celabo Abrahamum servum meum quae facturus sum:* et quae sequuntur ex Mosis scriptis jam depromta et a me exposita rursus

12. *ἀποστρέψω*] Scripserit fortasse Justinus *ἀναστρέψω*, ut apud LXX. Ceterum in eadem LXXvirali versione frequenter usurpari *ἀποστρέφειν* pro *reverti*, viris eruditis jam observatum. *Gallandius.* Vid. c. 56. not. 36.

13. *Ἐξαναστάντες . . . Σοδόμων*] Genes. XVIII. 16.

14. *ὃς ἦν καὶ ἔστιν ὡς λέγει*] Pro *ὡς* fortasse cum Lango et Sylburgio *οὕτως* legendum est. Thirlb. vult: . . . *ἔστιν θεὸς λέγει.* Non muto.

15. *Οὐ . . . ποιεῖν*] Gen. XVIII. 17.

16. *ποιεῖν*] Maran. *ποιεῖ* mendose.

σέως καὶ ἐξηγημένα ὑπ' ἐμοῦ πάλιν ἔλεγον, δι' ὧν ἀποδέδεικται
ὑπὸ τῷ πατρὶ καὶ κυρίῳ τεταγμένος καὶ ὑπηρετῶν τῇ βουλῇ αὐτοῦ C
οὗτος ὃς ὤφθη τῷ τε Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ καὶ
τοῖς ἄλλοις πατριάρχαις, ἀναγεγραμμένος θεός, ἔλεγον. Ἐπέφε-
ρον δέ, εἰ καὶ μὴ εἶπον ἐν τοῖς ἔμπροσθεν· Οὕτω δὲ καί, ὅτε
κρέας ἐπεθύμησεν ὁ λαὸς φαγεῖν καὶ [17] ἀπιστεῖ Μωσῆς τῷ λελε-
γμένῳ κἀκεῖ [18] ἀγγέλῳ, ἐπαγγελλομένῳ δώσειν αὐτοῖς τὸν θεὸν εἰς
πλησμονήν, [19] αὐτός, ὢν καὶ θεὸς καὶ ἄγγελος παρὰ τοῦ πατρὸς
πεπεμμένος, ταῦτα εἰπεῖν καὶ πρᾶξαι δηλοῦται. Οὕτως γὰρ ἐπά- D
γει ἡ γραφὴ λέγουσα· [20] Καὶ εἶπε κύριος πρὸς Μωσῆν· Μὴ ἡ
χεὶρ κυρίου οὐκ ἐξαρκέσει; Ἤδη γνώσῃ, εἰ [21] ἐπικαλύψεταί σε ὁ
λόγος μου ἢ οὔ. Καὶ πάλιν ἐν ἄλλοις λόγοις οὕτω φησί· [22] Κύ-
ριος δὲ εἶπε πρός με· Οὐ διαβήσῃ τὸν Ἰορδάνην τοῦτον. Κύριος
ὁ θεός σου, ὁ προπορευόμενος τοῦ προσώπου σου, αὐτὸς ἐξολο-
θρεύσει τὰ ἔθνη.

127. Καὶ τὰ ἄλλα δὲ τοιαῦτά ἐστιν εἰρημένα τῷ νομοθέτῃ E
καὶ τοῖς προφήταις. Καὶ ἱκανῶς εἰρῆσθαί μοι ὑπολαμβάνω, [1] ὅτι,
ὅταν μου ὁ θεὸς λέγῃ· [2] Ἀνέβη ὁ θεὸς ἀπὸ Ἀβραάμ, ἤ· [3] Ἐλά-
λησε κύριος πρὸς Μωσῆν, καί· [4] Κατέβη κύριος τὸν πύργον ἰδεῖν
ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων, ἢ ὅτε· [5] Ἔκλεισεν ὁ θεὸς
τὴν κιβωτὸν Νῶε ἔξωθεν, μὴ ἡγεῖσθε αὐτὸν τὸν ἀγέννητον θεὸν
καταβεβηκέναι ἢ ἀναβεβηκέναι ποθέν. Ὁ γὰρ ἄῤῥητος πατὴρ καὶ
κύριος τῶν πάντων οὔτε ποι ἀφῖκται οὔτε περιπατεῖ οὔτε καθεύ- 357
δει οὔτε ἀνίσταται, ἀλλ' ἐν τῇ αὐτοῦ χώρᾳ, ὅπου ποτέ, μένει, ὀξὺ

17. ἀπιστεῖ] Sunt qui jusjurandum darent Justinum scripsisse ἠπιστεῖ. Nos in hujusmodi rebus in potestate librariorum sumus. *Thirlbius.*

18. ἀγγέλῳ] Fallitur, ut Thirlb. notat. Non enim vocatur angelus, sed dominus.

19. αὐτὸς ὢν . . . δηλοῦται] Istud πρᾶξαι suadere videatur Justinum plura descripsisse ex cap. XI. Numer. (aut certe in animo habuisse describere cum haec scriberet) quam hic sequuntur, nisi forte sic locum intelligendum putas: αὐτὸς δηλοῦται καὶ θεὸς ὤν, καὶ ἄγγελος, παρὰ τοῦ πατρὸς πεπεμμένος ταῦτα εἰπεῖν καὶ πρᾶξαι — cui interpretationi favere videntur et antecedentia et sequentia; mihi tamen non satisfacit. *Thirlbius* (in Addend.).

20. Καὶ . . . οὔ] Num. XI. 23.

21. ἐπικαλύψεται] Mihi legendum videtur ἐπικαταλήψεται cum Bibliis. Idem Thirlbius censet. Non

repetii, ex quibus, ajebam, demonstratur sub patre et domino subjectum esse et ejus voluntati ministrare istum qui Abrahamo et Isaaco et Jacobo et aliis patriarchis apparuit appellaturque in Scripturis Deus. Hic illud adjeci, etsi antea non dixeram: Sic vero etiam, quum carnem edere populus concupivit ac Moses ei qui illic etiam appellatur angelus, Deum ad satietatem illis daturum pollicenti, non credidit: ipse ille, qui et Deus est et angelus a patre missus fuerat, haec dixisse et fecisse narratur. Sic enim ait Scriptura: *Et dixit dominus ad Mosen: An manus domini non sufficiet? Jam cognosces, an operturum te sit verbum meum nec ne.* Et rursus alio in loco sic ait: *Dominus dixit ad me: Non transibis Jordanem istum. Dominus Deus tuus, qui praecedit ante faciem tuam, ipse exterminabit gentes.*

127. Sunt etiam alia ejusmodi legislatoris et prophetarum dicta. Et quae dixi sufficere mihi videntur, ut, quum Deus meus dicit: *Ascendit Deus ab Abrahamo*, aut: *Locutus est dominus ad Mosen*, et: *Descendit dominus ad videndam turrim quam aedificaverant filii hominum*, vel: *Clausit Deus arcam Noachi extrinsecus* — non existimetis ipsum ingenitum Deum descendisse aut aliquo ex loco ascendisse. Ille enim inenarrabilis pater et dominus universorum neque in aliquem locum venit neque ambulat neque dormit neque surgit, sed in regione sua, quaecumque tandem illa est, manet, acutum cernens et

vero mutamus.

22. *Κύριος ... ἔθνη*] Deuter. XXXI. 2. sq..

1. *ὅτι, ὅταν μου ὁ θεὸς λέγῃ*] Nodum in scirpo quaesiverunt editores. Vult Thirlb: *ὥστε, ὅταν πνεῦμα θεοῦ λέγῃ*. Melius Maran. conjicit *ὅτι, ὅταν που* (*alicubi*) *ὁ θ. λ.*, sed et hoc libenter caremus. Idem commendat *ὡς ... μὴ ἡγεῖσθαι.* At nihil audet mutare ob similem locum c. 80. p. 306. E: *Ὅτι δ' οὐκ ἐφ' ὑμῶν μόνων τοῦτο λέγειν με ἐπίστασθε, τῶν γεγενημένων ἡμῖν λόγων ἁπάντων... σύνταξιν ποιήσομαι.* Sylburg. autem verba *μὴ ἡγεῖσθε* pro *οὐχ ἡγητέον* posita autumat.

2. *Ἀνέβη ... Ἀβραάμ*] Genes. XVII. 22..

3. *Ἐλάλησε ... Μωσῆν*] Exod. VI. 2. 29. etc.. Stephan. et Jebb. *Μωσῆ* ediderunt.

4. *Κατέβη ... ἀνθρώπων*] Gen. XI. 5..

5. *Ἔκλεισεν ... ἔξωθεν*] Gen. VII. 16..

ὁρῶν καὶ ὀξὺ ἀκούων, οὐκ ὀφθαλμοῖς οὐδὲ ὠσίν, ἀλλὰ δυνάμει
ἀλέκτῳ· καὶ πάντα ἐφορᾷ καὶ πάντα γινώσκει, καὶ οὐδεὶς ἡμῶν
λέληθεν αὐτόν· οὔτε κινούμενος, ὁ τόπῳ τε ἀχώρητος καὶ τῷ κό-
σμῳ ὅλῳ, ὅς γε ἦν καὶ πρὶν τὸν κόσμον γενέσθαι. Πῶς ἂν οὖν
οὗτος ἢ λαλήσειε πρός τινα ἢ ὀφθείη τινὶ ἢ ἐν ἐλαχίστῳ μέρει γῆς
φανείη, ὁπότε γε οὐδὲ τὴν δόξαν τοῦ παρ' αὐτοῦ πεμφθέντος ἴσχυεν B
ὁ λαὸς ἰδεῖν ἐν Σινᾷ, οὐδ' αὐτὸς Μωσῆς ἴσχυσεν εἰσελθεῖν εἰς τὴν
σκηνήν, ἣν ἐποίησεν, [6] εἰ μὲν ἐπληρώθη τῆς παρὰ τοῦ θεοῦ δόξης,
οὐδὲ μὴν [7] ὁ ἱερεὺς ὑπέμεινε κατενώπιον τοῦ ναοῦ στῆναι, ὅτε τὴν
κιβωτὸν Σολομὼν εἰσεκόμισεν εἰς τὸν οἶκον τὸν ἐν Ἱερουσαλήμ, ὃν
αὐτὸς ὁ Σολομὼν ᾠκοδομήκει; Οὔτε οὖν Ἀβραὰμ οὔτε Ἰσαὰκ οὔτε
Ἰακὼβ οὔτε ἄλλος ἀνθρώπων εἶδε τὸν πατέρα καὶ ἄῤῥητον κύριον
τῶν πάντων ἁπλῶς καὶ αὐτοῦ τοῦ Χριστοῦ, ἀλλ' ἐκεῖνον τὸν κατὰ C
βουλὴν τὴν ἐκείνου καὶ θεὸν ὄντα υἱὸν αὐτοῦ καὶ ἄγγελον ἐκ τοῦ
ὑπηρετεῖν τῇ γνώμῃ αὐτοῦ· ὃν καὶ ἄνθρωπον γεννηθῆναι διὰ τῆς
παρθένου βεβούληται, ὃς καὶ πῦρ ποτὲ γέγονε τῇ πρὸς Μωσέα
ὁμιλίᾳ τῇ ἀπὸ τῆς βάτου. Ἐπεὶ ἐὰν μὴ οὕτω νοήσωμεν τὰς γραφάς,
συμβήσεται τὸν πατέρα καὶ κύριον τῶν ὅλων μὴ γεγενῆσθαι τότε
ἐν τοῖς οὐρανοῖς, ὅτε διὰ Μωσέως λέλεκται· [8] *Καὶ κύριος ἔβρεξεν
ἐπὶ Σόδομα πῦρ καὶ θεῖον παρὰ κυρίου ἐκ τοῦ οὐρανοῦ*, καὶ πάλιν D
διὰ Δαβὶδ ὅτε λέλεκται οὕτως· [9] *Ἄρατε πύλας, οἱ ἄρχοντες, ὑμῶν,
καὶ ἐπάρθητε, πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δό-
ξης*, καὶ πάλιν ὅτε φησί· [10] *Λέγει κύριος τῷ κυρίῳ μου· Κάθου
ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν πο-
δῶν σου.*

128. [1] Καὶ ὅτι κύριος ὢν ὁ Χριστὸς καὶ θεὸς θεοῦ υἱὸς
ὑπάρχων, καὶ [2] δυνάμει φαινόμενος πρότερον ὡς ἀνὴρ καὶ ἄγγελος, E
καὶ ἐν πυρὸς δόξῃ, ὡς ἐν τῇ βάτῳ, πέφανται καὶ ἐπὶ τῆς κρίσεως

6. *εἰ μὲν ἐπλ.*] Sic mihi quidem legendum videtur pro vulg. *εἰ μὴ ἐπλ.*, Justinus ut cum Bibliis (Exod. XL. 35.) concilietur. Consentit Maranus. Thirlbius mallet *εἰ ἐπληρώθη*.

7. *ὁ ἱερεὺς*] 2 Chron. V. 14.: *οἱ ἱερεῖς*.

8. *Καὶ . . . οὐρανοῦ*] Genes. XIX. 24..

9. *Ἄρατε . . . δόξης*] Psalm. XXIV. 7..

10. *Λέγει . . . σου*] Ps. CX. 1..

1. *Καὶ ὅτι* etc.] Thirlbius legere mallet: *Καὶ ὅτι κύριος ὢν ὁ Χριστὸς καὶ θεός, θεοῦ υἱὸς ὑ-*

acutum audiens, non oculis quidem nec auribus, sed virtute non enarrabili: et omnia videt et omnia cognoscit, nec quisquam nostrum eum latet: nec movetur nec loco comprehendi potest, imo ne toto quidem mundo, quippe qui vel ante esset quam mundus fiebat. Quomodo igitur ille aut quemquam alloquatur aut cuiquam appareat aut in angustissima terrae parte conspiciatur, quum ne illius quidem, qui ab eo missus est, gloriam populus in Sina intueri potuerit, nec ipse Moses tabernaculum, quod fecerat, ingredi posset, si gloria Dei impletum esset, neque etiam sacerdos pro templo stare sustinuerit, quum arcam Salomo intulit in domum Hierosolymitanam, quam ipse construxerat? Nec Abrahamus igitur nec Isaacus nec Jacobus nec alius quisquam ex hominibus illum omnium omnino et ipsius Christi patrem et dominum non enarrabilem vidit, sed illum, qui secundum ejus voluntatem et Deus est, filius ipsius, et angelus ex eo quod ministrat ipsius voluntati: quem et hominem nasci per virginem voluit, qui et ignis aliquando fuit in colloquio cum Mose ex rubo. Nisi enim Scripturas ita intelligamus, eo res evadet, ut pater et dominus universorum tunc in coelis non fuerit, quum per Mosen dictum est: *Et dominus pluit super Sodoma ignem et sulphur a domino ex coelo*, aut quum rursus per Davidem dictum est: *Tollite portas, principes, vestras, et elevamini, portae aeternae, et introibit rex gloriae*, aut quum rursus ait: *Dicit dominus domino meo: Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum.*

128. Ac Christum quidem, qui dominus et Deus, Dei filius, est et virtute prius apparuit ut vir et angelus, etiam in ignis gloria, ut in rubo, et in judicio de Sodomis facto apparuisse,

πάρχων καὶ δύναμις, φαινόμενος (mox enim: ... *φάσκειν τὴν δύναμιν τὴν παρὰ τοῦ πατρὸς τ. ὅ. φανεῖσαν τῷ Μωσεῖ ἢ τῷ Ἀβρ.* etc.) *πρότερον ὡς ἀνὴρ καὶ ἄγγελος ἐπὶ τῆς κρίσεως τῆς γεγενημένης ἐπὶ Σόδομα, καὶ ἐν πυρὸς δόξῃ ὡς ἐν τῇ βάτῳ πέφανται.* Sed conjecturam suam deserit V. D. ac nihil mutat.

2. *δυνάμει φαιν.*] Nimirum per operationem et virtutem: *πρότερον* i. e. ante incarnationem. *Maranus.*

τῆς γεγενημένης ἐπὶ Σόδομα, ἀποδέδεικται ἐν πολλοῖς τοῖς εἰρη-
μένοις. Ἀνιστόρουν δὲ πάλιν ἃ καὶ προέγραψα ἀπὸ τῆς Ἐξόδου
πάντα, περί τε τῆς ὀπτασίας τῆς ἐπὶ τῆς βάτου καὶ τῆς ἐπικλή-
σεως τοῦ Ἰησοῦ ὀνόματος, καὶ ἐπέλεγον· Καὶ μὴ νομίζητε, ὦ οὗ- 358
τοι, ὅτι περιττολογῶν ταῦτα λέγω πολλάκις, ἀλλ᾽ ἐπεὶ γινώσκω καί
τινας προλέγειν ταῦτα βουλομένους καὶ φάσκειν τὴν δύναμιν τὴν
παρὰ τοῦ πατρὸς τῶν ὅλων φανεῖσαν τῷ Μωσεῖ ἢ τῷ Ἀβραὰμ ἢ
τῷ Ἰακὼβ ἄγγελον καλεῖσθαι ἐν τῇ πρὸς ἀνθρώπους προόδῳ, ἐπειδὴ
δι᾽ αὐτῆς τὰ παρὰ τοῦ πατρὸς τοῖς ἀνθρώποις ἀγγέλλεται, δόξαν
δέ, ἐπειδὴ ἐν ἀχωρήτῳ ποτὲ φαντασίᾳ φαίνεται, ἄνδρα δέ ποτε καὶ
ἄνθρωπον καλεῖσθαι, ἐπειδὴ ἐν μορφαῖς τοιαύταις σχηματιζόμε- B
νος φαίνεται αἷσπερ βούλεται ὁ πατήρ· καὶ λόγον [3]καλοῦσιν, ἐπει-
δὴ καὶ τὰς παρὰ τοῦ πατρὸς ὁμιλίας φέρει τοῖς ἀνθρώποις. [4]Ἄ-
τμητον δὲ καὶ ἀχώριστον τοῦ πατρὸς ταύτην τὴν δύναμιν ὑπάρχειν,
ὅνπερ τρόπον τὸ τοῦ ἡλίου φασὶ φῶς ἐπὶ γῆς εἶναι ἄτμητον καὶ
ἀχώριστον ὄντος τοῦ ἡλίου ἐν τῷ οὐρανῷ, καὶ ὅταν δύσῃ, [5]συν-
αποφέρεται τὸ φῶς· οὕτως ὁ πατήρ, ὅταν βούληται, λέγουσι,
δύναμιν αὐτοῦ προπηδᾶν ποιεῖ, καὶ ὅταν βούληται, πάλιν ἀνα-
στέλλει εἰς ἑαυτόν. [6]Κατὰ τοῦτον τὸν τρόπον καὶ τοὺς ἀγγέλους C
ποιεῖν αὐτὸν διδάσκουσιν. Ἀλλ᾽ ὅτι μὲν οὖν εἰσὶν ἄγγελοι, καὶ
ἀεὶ μένοντες καὶ μὴ ἀναλυόμενοι εἰς ἐκεῖνο ἐξ οὗπερ γεγόνασιν,
[7]ἀποδέδεικται· καὶ ὅτι δύναμις αὕτη, ἣν καὶ θεὸν καλεῖ ὁ προ-
φητικὸς λόγος, [8]ὡς διὰ πολλῶν ὡσαύτως ἀποδέδεικται, καὶ ἄγγε-
λον, οὐχ ὡς τὸ τοῦ ἡλίου φῶς ὀνόματι μόνον ἀριθμεῖται, ἀλλὰ
καὶ ἀριθμῷ ἕτερόν τι ἐστί, καὶ [9]ἐν τοῖς προειρημένοις διὰ βρα-
χέων τὸν λόγον ἐξήτασα, εἰπὼν τὴν δύναμιν ταύτην γεγεννῆσθαι D
ἀπὸ τοῦ πατρός, δυνάμει καὶ βουλῇ αὐτοῦ, ἀλλ᾽ οὐ κατὰ ἀποτο-
μήν, ὡς ἀπομεριζομένης τῆς τοῦ πατρὸς οὐσίας, ὁποῖα τὰ ἄλλα
πάντα μεριζόμενα καὶ τεμνόμενα οὐ τὰ αὐτά ἐστιν ἃ καὶ πρὶν τμη-
θῆναι· καὶ παραδείγματος χάριν παρειλήφειν [10]τὰ ὡς ἀπὸ πυρὸς

3. καλοῦσιν] Mallet Thirlb. καλεῖσθαι.

4. Ἄτμητον etc.] Suppl. ex praecedentibus γινώσκω τινὰς φάσκειν.

5. συναποφέρεται] Exspectaveris συναποφέρεσθαι. Non muto.

6. Κατὰ τοῦτον τ. τρόπον] Thirlb. καὶ τοῦτον τ. τρόπον conjectat.

7. ἀποδέδεικται] Cf. c. 85. p. 311. D.

jam pluribus demonstratum est. Referebam autem iterum omnia, quae prius ex Exodo descripsi, tum de visione in rubo oblata tum de imposita nominis Jesu appellatione, et insuper addidi: Ne existimetis, heus vos, me verbis superfluentem haec saepius iterare, sed quia nonnullos etiam esse scio, qui haec occupare velint ac dicere virtutem illam, quae a patre universorum Mosi aut Abrahamo aut Jacobo apparuit, angelum vocari quum ad homines progreditur, quia per eam mandata patris hominibus nuntiantur, gloriam vero, quia per visa, quae sustineri non possunt, apparet interdum, virum autem aliquando et hominem, quia in ejusmodi formis pro voluntate patris conspicitur; Logon denique appellant, quia patris sermones ad homines perferat. Hanc autem virtutem a patre abscindi aut separari non posse, quemadmodum lux solis in terra abscindi et separari nequit a sole qui est in coelo, et quum sol occidit, lux simul occidit: sic pater, quum vult, inquiunt, facit ut virtus ejus prosiliat, rursus quum vult, illam ad seipsum reflectit. Eodem modo etiam angelos ab eo fieri docent. Sed angelos quidem esse et semper manere neque in id ex quo exstitere dissolvi demonstratum est; atque illam virtutem, quam et Deum vocat propheticum effatum, ut multis similiter demonstratum est, et angelum, non solo nomine ut lucem solis numerari, sed et numero aliud quid esse, etiam supra breviter disserui, quum virtutem illam ex patre genitam dicerem, virtute et voluntate ipsius, non vero per abscissionem, quasi patris substantia divideretur, quemadmodum cetera omnia, quae dividuntur et scinduntur, non eadem sunt ac antequam scinderentur: et exempli causa sumsi ignes, quos ex alio igne ac-

8. ὡς διὰ πολλῶν etc.] Praemisi ὡς, quod textus vulgatus non habet. Vocula, ut Maranus scite animadvertit, videtur excidisse ob similem sonum syllabae praecedentis. Vid. c. 112. not. 4.. Sylburgius interpolata voce ὡσαύτως etiam admittit ὡς διὰ πολλῶν σαφῶς ἀποδέδεικται.

9. ἐν τ. προειρημένοις] Cf. c. 61. p. 284. A—C; vid. ibid. not. 6. et 8..

10. τὰ ὡς] Illud τὰ ferri potest, si demonstrative pro ταῦτα capias et sequentibus disjunges; sed legi etiam potest ὡς τὰ — facta vi-

ἀναπτόμενα πυρὰ ἕτερα ὁρῶμεν, οὐδὲν ἐλαττουμένου ἐκείνου, ἐξ οὗ ἀναφθῆναι πολλὰ δύνανται, ἀλλὰ ταὐτοῦ μένοντος.

129. Καὶ νῦν δὲ ἔτι καὶ οὓς εἶπον λόγους εἰς ἀπόδειξιν τού- E
